D διακειμένοις ἡδέα πάντ' ἐστὶν, οἰητέον αὐτὰ καὶ ἡδέα εἶναι ἁπλῶς, πλὴν πυθοῖς· καθάπερ οὐδὲ τὰ τοῖς κάμνουσιν ὑγιεινὰ, ἢ γλυκέα, ἢ πικρά· οὐδ' αὖ λευκὰ, τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσιν. ἢ οὕτω δὴ λέγοιτ' ἄν, ὅτι, αἱ μὲν ἡδοναὶ, αἱρεταί εἰσιν, ἃ μὲν ἀπογενόμενα· ὥσπερ & τὸ πλουτεῖν, περιόντι δ' οὔ· & τὸ ὑγιαίνειν, ἃ μὲν ὄντα φαγόντι· ἢ, ὅτι περὶ εἴδη διαφέρουσιν αἱ ἡδοναί· ἕτεραι γὰρ αἱ ἀπὸ τῶν καλῶν, τῶν ἀπὸ τῶν αἰσχρῶν· καὶ οὐκ ἔστιν ἡδονῆς τὸ εἶναι τὸ δικαίου, μὴ ὄντα δίκαιον· μηδὲ τὸ τοῦ μουσικοῦ, μὴ ὄντα μουσικόν· ὁμοίως δὲ & ἐπὶ τῶν ἄλλων. ἐμφαίνειν δὲ δοκεῖ & ὁ φίλος, ἕτερος ὢν τοῦ κόλακος, οὐκ οὐσαν ἀγαθὸν τὴν ἡδονὴν, διὰ τὴν ἡδονήν· * καὶ τὸ μὲν, ὀνειδίζεται· τὸ δ', ἐπαινοῦσιν, ὡς πρὸς ἕτερα, ὁμιλοῦντα.

γρ. ἡδ. ἐν ᾧ αὖ.

γρ & δια, pessimè.

γρ. ἥδοιτ' ἂν ἀναπλήρωσις.

γρ. προσφέρουσι minùs recte.

Vet. int. & ὁ μὲν ὀνειδίζεται· τὸν δ' ἐπαινοῦσιν, ὡς οὐ πρ. sic & Eustrat. legisse videtur.

οὐδεὶς τ' ἂν ἕλοιτο ζῆν παιδίου διάνοιαν ἔχων διὰ βίου, ἡδόμενος ἐφ' οἷς ἂν παιδία ὡς * οἷόν τε μάλιστα· οὐδ' αἱρεῖν, ποιοῦντα αἰσχίστων * μηδὲ ποτε μέλλοντα λυπηθήναι· καὶ πολλά τε ἀπουδλῶ ποιησάμενα ἂν, καὶ εἰ μηδεμίαν ὀφοφέροι ἡδονὴν, οἷόν τε ὁρᾶν, μνημονεύειν, εἰδέναι, ταῖς ἀρεταῖς ἔπεσθαι ἔχειν. εἰ δ' ὧδε διάγκης ἕπονται τούτοις * ἡδοναί, οὐδὲν διαφέρει· ἑλοίμεθα γὰρ ἂν ταῦτα, καὶ εἰ μὴ γίνοιτ' ἀπ' αὐτῶν ἡδονή. ὅτι μὲν οὖν οὔτε * πάγαθὸν ἡ ἡδονὴ, οὔτε πᾶσα αἵρετὴ, δῆλον ἔοικεν εἶναι, ἃ ὅτι εἰσὶν αἱρεταί τινες καθ' αὑτάς, διαφέρουσαι τῷ εἴδει, ἢ τῷ ἀφ' ὧν. ταὐτὸν μὲν οὖν λεγόμενα περὶ τῆς ἡδονῆς καὶ λύπης, ἱκανῶς εἰρήσθω.

γρ. οἷόντε μ. γρ. αἰσχρῶν

γρ. αἱ ἡδοναί,

γρ. ἀγαθὸν

ΚΕΦΑΛ. γ'.

Ὅτι οὐκ ἔστιν ἡ ἡδονὴ κίνησις.

Τί δ' ἐστὶν, ἢ ποῖόν τι, καταφανέστερον γένοιτ' ἂν ἀπ' ἀρχῆς διαλαβοῦσι. δοκεῖ γὰρ ἡ μὲν ὅρασις, καθ' ὁντιναοῦν χρόνον τελεία εἶναι· οὐ γάρ ἐστιν ὑστεροῦν οὐδενὸς, ὃ εἰς ὕστερον γενόμενον τελειώσει αὐτῆς τὸ εἶδος. * τοιούτῳ δ' ἔοικε καὶ ἡ ἡδονή· ὅλον γάρ τί ἐστι. καὶ κατ' οὐδένα χρόνον λάβοις ἂν ἡδονήν· ἧς ὅταν πλείω χρόνον γινομένης, τελειωθήσεται τὸ εἶδος· διόπερ οὐδὲ κίνησίς ἐστιν· ἐν χρόνῳ γὰρ πᾶσα κίνησις, καὶ τέλος ἕνεκά τινος, οἷον ἡ οἰκοδομικὴ τελεία, ὅταν ποιήσῃ οὗ ἕφιεται. ἢ ἐν ἅπασιν δὴ * τῷ χρόνῳ, ἢ ἐν τούτῳ. ἐν δὲ τοῖς μέρεσι τοῦ χρόνου πᾶσαι ἀτελεῖς, καὶ ἕτεραι τῷ εἴδει τῆς ὅλης καὶ ἀλλήλων· ἡ γὰρ τῶν λίθων συνθεσις, ἑτέρα τῆς τοῦ κίονος ῥαβδώσεως, καὶ αὕτη, τῆς τοῦ ναοῦ ποιήσεως. καὶ ἡ μὲν τοῦ ναοῦ, τελεία· οὐδενὸς γὰρ ἐνδεὴς πρὸς τὸ προκείμενον· ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ περιγλύφου, ἀτελής· μέρους γὰρ ἑκατέρα. ᾧ εἴδει οὖν διαφέρουσι, καὶ οὐκ ἔστιν ἐν ὁτῳοῦν χρόνῳ λαβεῖν κίνησιν τελείαν τῷ εἴδει· ἀλλ' εἴπερ, ἐν τῷ πρώτῳ. ὁμοίως δὲ καὶ ὅτι βαδίσεως καὶ τῶν λοιπῶν· εἰ γάρ ἐστιν ἡ φορὰ, κίνησις πόθεν ποῖ, καὶ ταύτης διαφοραὶ κατ' εἴδος, πλῆσις, βάδισις, ἅλσις, καὶ τὰ τοιαῦτα· ὧν μόνον δὲ οὕτως, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ βαδίσει· τὸ γὰρ πόθεν ποῖ, οὐ ταὐτὸν ἐν

χρ. πρώτ.

χ. τῷ χρόνῳ πρώτῳ & τῷ χρόνῳ ἢ πρώτῳ·

A Neque verò quiquam vita sit optabilis, vt per omnem vitam, cogitationem & mentem puerilem obtineat: iisque rebus quibus pueri lætantur, quàm maximè fieri potest, delectetur: neque quisquã gaudere cupiat turpissima aliqua & flagitiosissima re admissa, etiam si nunquam sit propterea doliturus. Ad multa denique studium atque operam nostram cõtulerimus, etiam si nullam voluptatem sint allatura: cuiusmodi sunt, videre, memoria tenere, scire, virtutes denique habere. Nec refert quòd his necessariò succedunt voluptates. Hæc enim sequeremur & expeteremus, etiãsi nulla B ex iis proficisceretur voluptas. Non esse igitur summum bonum võluptatem, neque omnem esse expetendam: esseque nonnullas per se expetendas, vel specie, vel iis rebus, ex quibus oriuntur, differenteis, perspicuum videtur Atque ea quidem, quæ de voluptate ac dolore dicuntur, satis à nobis exposita sint.

CAPVT III.

Ex sua porrò sententia Voluptatis nãturam declaraturus ἀποφαντικῶς primùm id facit, & quid voluptas non sit, ostendit.

C

QVid sit autem, aut qualis res sit, planius fieri poterit, si ab initio repetamus. Videtur enim aspectus quouis tempore perfectus esse. Nam nil desiderat, quod cùm postea cõtigerit, eius formam sit absoluturum. Huic similis est & voluptas. Namque totum quiddã est, atque integrum: neque quisquam voluptatem vllo tempore sumat, cuius, si longiùs producatur, forma sit perfectior futura. Itaq; ne motus quidem est. Omnis enim motus in tẽpore versatur, & ad aliquem finem refertur: verbi gratia, is qui in ædificando consumitur, tum perfectus est, cùm id quod desiderat, effecerit. Aut igitur in toto tempore, aut in hoc. In partibus autem temporis omnes sunt imperfecti, speciéque & à toto, & ipsi inter se differunt. Lapidum enim compositio & structura alia est à columnæ striatione: & hi motus, alii sunt à templi perfectione. Ac templi quidem motus perfectus est: nihil enim desiderat ad id quod propositum fuerat. Fundamenti autem, & lacunaris, imperfectus: vterque enim partis est. Specie igitur differunt, neque E in vllo tempore, qualecunque illud sit, perfectus in suo genere motus sumi potest: aut si maximè potest, in toto potest, similiterque de incessu, & reliquis motibus sentiendum. Si enim loci mutatio motus est alicunde aliquò, huius quoque formæ dispares ac differentes, volatus, incessus, saltus, & cætera huiusmodi, motus sunt alicunde aliquò. Nec solùm ita se res habet in aliis loci mutationibus, verumetiam in ipso incessu. Nam incessus alicunde aliquò non est idem in stadio,

atq; in eius parte: neq; idem in vna, atq; in alia: neque eadem loci mutatio est, qua hæc linea, & qua illa transitur. Non enim linea solùm transitur, verumetiam linea, quæ in loco est: at hæc in alio loco, quàm illa est. Subtiliter igitur & enucleatè de motu in aliis libris disputatum à nobis est. Videtur autem non omn tempore perfectus esse, sed plerique imperfecti, speciéque differentes, si quidem termini alicunde aliquo motum informant. At voluptatis in quouis tempore forma perfecta est. Perspicuum igitur est, motum & voluptatem inter se differre, voluptatemque totum quiddam & perfectum esse. Quod quidem etiam ex eo intelligere licet, quòd fieri non potest vt quis moueatur nisi in tempore: sed vt voluptate afficiatur, potest. Nam quod in puncto temporis positum est, totum quiddã est. Atque ex his perspicuum illud quoq; est, minùs rectè ab his dici, voluptatem motũ aut ortum esse. Non enim omnium rerum dicuntur esse motus & ortus, sed earum duntaxat, quæ partitionem recipiunt, & quæ non sunt tota. Neque enim aspectus, neque puncti, neque monadis ortus est, neque horum quidquã vel motus, vel ortus est. Ergo neque voluptas, motus vel ortus est. Est enim totum atque integrum quiddam voluptas.

A ὥσπερ δὲ τὸ ἁπλοῦν καὶ τὸ μέρος, καὶ ἐν ἑτέρῳ καὶ ἑτέρῳ μέρει· οὐδὲ τὸ διεξιέναι καὶ γραμμὴν τινὰ δεῖ καὶ εἶναι· οὐ μόνον γὰρ γραμμὴ διαπορεύεται, ἀλλὰ καὶ ἐν τῷ τόπῳ οὖσα· καὶ ἐν ἑτέρῳ δ' αὐτὴ ἐκείνης. δι' ἀκριβείας μὲν οὖν περὶ κινήσεως ἐν ἄλλοις εἴρηται. ἔοικε δ' οὐκ ἐν ἀπαρτὶ χρόνῳ τελεία εἶναι, ἀλλ' αἱ πολλαὶ ἀτελεῖς καὶ διαφέρουσαι τῷ εἴδει, εἴπερ καὶ πόθεν ποῖ εἰδοποιόν. τῆς ἡδονῆς δ' ἐν ὁτῳοῦν χρόνῳ τέλειον τὸ εἶδος. δῆλον οὖν ὡς ἔστε- B σαί τε δεῖ εἶεν ἀλλήλων, καὶ τὴν ὅλωσιν καὶ τὸ λείων ἡ ἡδονή. δόξειε δ' ἂν τοῦτο καὶ ἐκ τοῦ μὴ ἐνδέχεσθαι κινεῖσθαι μὴ ἐν χρόνῳ, ἡδεῖσθαι δέ· τὸ γὰρ ἐν τῷ νῦν, ὅλον καὶ. ἐκ τούτων δὲ δῆλον, καὶ ὅτι οὐ καλῶς λέγουσι κίνησιν καὶ γένεσιν εἶναι τὴν ἡδονήν. οὐ γὰρ πάντων ταῦτα λέγεται, ἀλλὰ τῶν μεριστῶν· καὶ μὴ ὅλων· οὐδὲ γὰρ ὁράσεώς ἐστι γένεσις, οὐδὲ στιγμῆς, οὐδὲ μονάδος· οὐδὲ τούτων οὐ- C δεὶς κίνησις, οὐδὲ γένεσις· οὐδὲ δὴ ἡδονῆς· ὅλον γάρ τι.

CAPVT IV.

Voluptatis naturam καθαπαξ perſequitur, & quid ſit, enarrat.

IAm verò cùm sensus omnis in id quod sub eum sensum cadit, suo munere fungatur: & perfectè quidem fungatur is qui bene affectus est, cum eorum, quæ sub illo sensu posita sunt, pulcherrimo quoque comparatus. Tale enim quiddam maximè videtur esse perfecta muneris functio. Atque vtrũ sensum suo munere fungi dicamus, an id in quo sensus inest, nihil interfit. In vnoquoque autem genere optima est functio eius quod optimè affectum est, cũ eorum, quæ sub eum sensum cadunt, præstantissimo quoque comparatum. Hæc autẽ perfectissima erit & iucundissima. Habet enim sensus suam quisque voluptatem: itemq; cogitatio & cognitio. Atque vt quæque functio est perfectissima, ita iucundissima est. Est autẽ perfectissima eius quod bene affectum est, ad eorum quæ sub illum sensum aut cogitationẽ cadũt, optimum. Perficit igitur muneris functionem voluptas. Sed non ita perficiet, vt & res sensui subiecta, & sensus ipse, cùm bona sunt. Quemadmodum bona valetudo aliter causa est cur aliquis valeat, aliter medicus. Iam perspicuũ illud perfectò est, in omni sensu voluptatem gigni. Dicimus enim, quędam, quæ cernuntur, & quæ audiũtur, esse iucũda.

ΚΕΦΑΛ. δ'.

Ὅτι ἡ ἡδονὴ τελειοῖ τὴν ἐνέργειαν, οὐχ ὡς ἡ ἐνυπάρχουσα ἕξις, ἀλλ' ὡς ἐπιγινόμενόν τι τέλος, οἷς τοῖς ἀκμαίοις ἡ ὥρα.

ΑΙΣΘΗΣΕΩΣ δ' πᾶσης D Eustrat. videtur, ἡ λεκτέα. ac locum supplet. scribi autem vult δὲ non δ'. Eum vide.

ἀπεὸς τὸ αἰσθητὸν ἐνεργούσης, τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὰ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν κειμένων· τοιοῦτον γὰρ μάλιστ' ἂν δόκει εἶναι τὸ τελεία ἐνέργεια· αὐτὴν δὲ λέγειν ἐνεργεῖν, ἐν ᾧ ἐστι, μηδὲν διαφέρειν· καθ' ἕκαστον δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια, τοῦ ἄριστα διακειμένου πρὸς τὸ κάλλιστον τῶν ὑφ' αὐτήν· αὕτη δ' ἂν τελειοτάτη εἴη καὶ ἀρίστη· κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡδονή· ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν· ἀρίστη δὲ ἡ τελειοτάτη· τελειοτάτη δέ, ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ' αὐτήν· τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονή· οὐ τὸν αὐτὸν δὲ τρόπον ἥ τε ἡδονὴ τελειοῖ καὶ * τὸ αἰσθητόν τε καὶ ἡ αἴσθησις, σπουδαῖα ὄντα· ὥσπερ οὐδὲ ἡ ὑγίεια καὶ ὁ ἰατρὸς ὁμοίως αἰτία ἐστὶ τῆς ὑγιαίνειν. καθ' ἑκάστην δ' αἴσθησιν ὅτι γὰρ ἡ ἡδονὴ δῆλον· φαμὲν γὰρ ὁράματα καὶ ἀκούσματα εἶναι ἡδέα.

γρ. ἔπεσθαι etiam apud Eustrat.

Phys. l. 5.

γρ. ἐνεῖναι. vide Lamb. annot.

γρ. ἡδονή.

δῆλον δὲ καὶ ὅτι μάλιστα, ἐπειδὰν ἥ τε αἴσθησις ᾖ κρατίστη, καὶ περὶ τοιοῦτον ἐνεργῇ· τοιούτων δὲ ὄντων, τοῦ τε αἰσθητοῦ καὶ τοῦ αἰσθανομένου, ἀεὶ ἔσται ἡδονή, ἐπαρκούσης γε τοῦ ποιήσοντος καὶ τοῦ πεισομένου. τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονή, οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγινόμενόν τι τέλος, οἷς τοῖς ἀκμαίοις ἡ ὥρα. ἕως δ' οὖν ἂν τὸ αἰσθητὸν ἢ νοητὸν ᾖ, οἷς δεῖ, καὶ τὸ κρῖνον ἢ θεωροῦν, ἔσται ἐν τῇ ἐνεργείᾳ ἡδονή· ὁμοίων γὰρ ὄντων, καὶ πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον ἐχόντων, τοῦ τε παθητικοῦ, καὶ τοῦ ποιητικοῦ, τὸ αὐτὸ πέφυκε γίνεσθαι. πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται; * ἢ κάμνει; πάντα γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν. οὐ γίνεται οὖν οὐδὲ ἡδονή· ἕπεται γὰρ τῇ ἐνεργείᾳ· ἔνια δὲ τέρπει καὶ ἀόντα· ὕστερον δὲ οὐχ ὁμοίως δοκεῖ ταῦτα· τὸν μὲν γὰρ πρῶτον * διακέκληται ἡ διάνοια, καὶ διατεταμένως ἐπὶ αὐτοῖς ἐνεργεῖ, ὥσπερ κατὰ τοὺς ὄψει οἱ ἐμβλέποντες· μετέπειτα δὴ, οὐ τὰ αὐτὰ περὶ ἐνέργεια, ἀλλὰ παρημελημένη· διὸ καὶ ἡ ἡδονὴ ἀμαυροῦται. ὀρέγεσθαι δὲ τῆς ἡδονῆς οἰητέον τοὺς αὐτοὺς ἅπαντας, ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται· ἡ δὲ ζωὴ, ἐνέργειά τις ἐστί· καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ, ἃ καὶ μάλιστα ἀγαπᾷ· οἷς, ὁ μὲν μουσικὸς, τῇ ἀκοῇ περὶ τὰ μέλη· ὁ δὲ φιλομαθὴς, τῇ διανοίᾳ περὶ τὰ θεωρήματα· οὕτω δὲ καὶ τὸν λοιπῶν ἕκαστος. ἡ δὲ ἡδονὴ τελειοῖ τὰς ἐνεργείας· καὶ τὸ ζῆν δὲ, οὗ ὀρέγονται· εὐλόγως οὖν καὶ τῆς ἡδονῆς ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν, αἱρετὸν ὄν.

κ. ἢ ὅτι κάμν.

κ. διακέκληται, idque malim Vetus int. addit, διὰ τὸ ὀπτικὸν μᾶλλον π.

ΚΕΦΑΛ. ε'.

Ὅτι δοκοῦσιν αἱ ἡδοναὶ τῷ εἴδει διαφέρειν.

ΠΟΤΕΡΟΝ δὲ διὰ τὴν ἡδονὴν τὸ ζῆν αἱρούμεθα, ἢ διὰ τὸ ζῆν τὴν ἡδονὴν ἀφείλωμεν ἐν τοῖς παρ' ἡμῖν. συνεζεύχθαι μὲν γὰρ ταῦτα φαίνεται, καὶ χωρισμὸν οὐ δέχεσθαι· ἄνθρωπος γὰρ ἐνεργείας, οὐ γίνεται ἡδονή· πᾶσαν τε γὰρ ἐνέργειαν τελειοῖ ἡ ἡδονή. ὅθεν δοκοῦσι καὶ ᾧ εἴδει διαφέρειν· ἕτερα γὰρ τοῖς εἴδει, ὑφ' ἑτέρων οἰόμεθα * τελειοῦσθαι. οὕτω γὰρ φαίνεται καὶ τὰ φυσικὰ,

κ. πλανᾶσθαι. διαφέρουσι δὲ αἱ πρὸς διάνοιαν τῶν κατὰ αἴσθησιν οὖν.

A Atq; ea tum videlicet iucundissima sunt, cùm & sensus est optimus, & in id quod tale sit, suã actionem explicat, suoque munere fungitur. Quandiu autem talia erunt, & id quod sensu percipitur, & id quod sentit, semper erit voluptas, dummodo præstò sit, quod efficit, & quod patitur. Perficit autem muneris functionem voluptas, non vt habitus penitus insitus, sed vt finis quidam subsequens: veluti eos qui florent ætate, formæ maturitas. Quandiu autem id quod sub sensum vel intelligentiã cadit, tale fuerit quale oportet esse: & quandiu id quod iudicat aut contemplatur, tale: tãdiu B in functione muneris futura est voluptas. Nã cùm similia sunt, cumque eodem modo inter se affecta sunt, & id quod ad accipiendum seu patiendum aptum est, & id in quo efficiendi vis inest: eadem res ex illis existere solet suapte natura. Quî fit igitur vt nemo continenter delectetur? An quòd defatigatur? Nullæ enim res humanæ assiduam muneris functionem ferre possunt. Ita neque perpetua voluptas gigni potest: functionem muneris enim consequitur. Nonnulla autẽ delectant, quandiu noua sunt: sed posteriùs non æquè, propter hanc causam. Principiò enim incumbit in ea cogitatio, & contentè in iis suo munere fungitur, vt qui defixis oculis rem aliquã intuentur. C Postea verò talis in fungendo munere contentio non adhibetur, sed muneris functio remissior ac negligentior est. Quapropter voluptas quoque inobscuratur. Existimare autẽ possit aliquis omneis, idcirco expetere voluptatem, quia & viuẽdi cupiditate omnes afficiantur: vita autem muneris functio quædam sit: & in eis elaboret quisque maximè, suoque munere fungatur, quæ maximè adamat: vt musicus auditu in sonis & cantibus: disciplinarum studiosus, agitatione mentis in cognitione rerum: & ita cæteri suo quisque in studio. At voluptas functiones muneris perficit D atque absoluit: & vitam quoque, quam omnes expetunt. Non temere igitur etiam voluptatem appetunt. Vitam enim, quæ cuique optabilis est, perficit.

CAPVT V.

Voluptatem in specie declarat, eiusdemque differentias recenset.

E VTrum autem propter voluptatẽ vitæ retinendæ studio ducamur, an viuẽdi causa voluptatem sequamur, omittamus in præsenti disputare. Videntur enim hæc inter se esse copulata, neque alterũ ab altero posse seiũgi. Nam neq; sine aliqua muneris functione gignitur voluptas, & omnem muneris functionẽ perficit voluptas. Quare specie quoque differre videntur voluptates. Nam quæ specie differunt, ab iis quæ specie quoq; differũt, perfici existimamus. Videtur enim & res naturales,

& ex quæ arte constant, ita se habere: exempligratia, animalia, arbores, tabulæ pictæ, statuæ, domus, vasa. Simili igitur modo & muneris functiones, quæ specie differunt, ab iis, quæ specie differunt, voluptatibus perfici. Differunt autem specie functiones cogitationis, à sensuum functionibus, & hæ inter se. Ergo & voluptates ex quæ illas perficiunt. Atq, hoc ex eo etiam cognosci poterit, quòd suæ quæq; voluptas muneris functioni, quam perficit, coniuncta est. Auget enim & amplificat muneris functionem sua voluptas. Nã diligentiùs quidque iudicant, accuratiusque persequuntur, & administrant, qui cum voluptate munere funguntur. Verbi gratia, geometriæ fiunt periti, qui geometriæ studiis & actionibus delectantur, & vnumquidque facilius ac planiùs intelligunt: itemque musicæ & artis ædificandi studiosi, & cæteri artifices magnos progressus in suo quisque studio & munere faciunt, si eo delectentur. Augent igitur studium & actionem voluptates. At quidquid auget, hoc ei quod auget, familiare & coniunctum est. Quæ autem iis quæ specie differunt, accommodata & coniuncta sunt, ea quoque specie sunt diuersa. Præterea planius hoc ex eo fieri poterit, quòd ex voluptates, quæ ab aliis ac diuersis rebus proficiscuntur, propriis muneris functionibus impedimento sunt. Nam qui tibiarum cantu delectantur, si aliquem, qui tibia canat, exaudierint, orationi, quæ habetur, animum aduertere non possunt: quoniam magis eos delectat tibiarum cantus, quàm negotium quod agitur. Ea igitur quæ ex tibiarum sonis percipitur voluptas, muneris functionem eam quæ in oratione habenda expromitur, corrumpit: itemque hoc in aliis vsu venit, cùm quis simul duabus rebus operam dat. Quæ enim muneris functio iucundior est, ea depellit ac discutit alteram, eoque magis, quo maior sit illius voluptas, adeò vt in altera re suo munere fungi non possit. Itaque cùm re aliqua, quæcunque illa sit, vehementer delectamur, non ferè aliud facimus: contrà cùm aliquid aliud leuiter modicéque probamus, aliud agimus, cuiusmodi est id quod fit ab iis qui in theatris edunt bellaria. Tũc enim vel maximè hoc faciunt, cùm inepti & mali sunt equorum agitatores, aut histriones. Quoniam autem propria voluptas muneris functiones cùm limatas atque accuratas efficit, tum diuturniores ac meliores reddit; alienæ autẽ corrũpũt: perspicuũ est, inter eas multũ interesse. Propemodũ enim idem quod proprii dolores, efficiũt alienæ voluptates. Muneris enim functiones corrũpunt proprii dolores: verbi gratia, si cui scribere, aut ratiocinari sit iniucundũ ac molestũ, ille nõ scribit, hic nõ ratiocinatur, quia molesta est huius muneris fũctio. Euenit igitur muneris functionibus à propriis voluptatibus cõtrariũ cius quod à propriis doloribus efficitur.

A καὶ τὰ ὑπὸ τέχνης, οἷ ζῶα, & δένδρα, καὶ γραφὴ, καὶ ἀγάλματα, & οἰκία, & σκεῦος. ὁμοίως δὲ καὶ τὰς διαφερούσας τῷ εἴδει ὑπὸ διαφερόντων τῷ εἴδει τελειοῦσθαι. διαφέρουσι δὲ αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰσθήσεις, & αὗται ἀλλήλων κατ' εἶδος. & αἱ τελειοῦσαι δὴ ἡδοναί. φανείη δ' ἂν τοῦτο & ἐκ τοῦ συνοικειοῦσθαι τὴν ἡδονὴν ἑκάστῳ τῇ ἐνεργείᾳ

B ᾧ τελειοῖ. συναύξει γὰρ τὴν ἐνέργειαν ἡ οἰκεία ἡδονή. μᾶλλον γὰρ ἕκαστα κρίνουσι & ἀξιακριβοῦσιν οἱ μεθ' ἡδονῆς ἐνεργοῦντες· οἷ γεωμετρικοὶ γίνονται, οἱ χαίροντες τῷ γεωμετρεῖν, & κατανοοῦσιν ἕκαστα μᾶλλον· ὁμοίως δὲ καὶ φιλοῦμουσοι, & φιλοικοδόμοι. & τὴν ἄλλων ἕκαστοι, ὅταν-διδῶσιν εἰς τὸ οἰκεῖον ἔργον, χαίροντες αὐτῷ. συναύξουσι * δὴ αἱ ἡδοναί. τὰ δὲ μὴ συναύξοντα, οἰκεῖα. τοῖς ἑτέροις δὲ τῷ εἴδει, καὶ τὰ οἰκεῖα, ἕτερα τῷ εἴδει. ἔτι δέ, μᾶλλον τοῦτ' ἂν φανείη ἐκ τοῦ τὰς ἀφ' ἑτέρων ἡδονὰς ἐμποδίους τῇσ ἐνεργείαις εἶ). οἱ γὰρ φίλαυλοι ἀδυνατοῦσι πρὸς λόγοις προσέχειν, ἐὰν καταχέωσιν αὐλοῦντος, μᾶλλον χαίροντες αὐλητικῇ τῆς παρούσης ἐνεργείας· ἡ καθ' αὑτὸ αὐλητικὴ τοῦ λόγον ἐνέργειαν φθείρει. ὁμοίως δὲ τοῦτο & ὅτι τῶν ἄλλων συμβαίνει, ὅταν ἅμα περὶ δύο ἐνεργῇ. ἡ γὰρ ἡδίων τὴν ἑτέραν ἐκκρούει· καὶ ἐὰν πολὺ διαφέρῃ κατὰ τὴν ἡδονήν, μᾶλλον, ὥστε * μηδὲ ἐνεργεῖν κατὰ τὴν ἑτέραν. διὸ χαίροντες ὀπτωσοῦν σφόδρα, οὐ πάνυ δραματικὴν ἑτέραν & ἄλλας ποιοῦμεν, ἀλλοις ἠρέμα ἀκροασόμενοι, οἷ' & ἐν τοῖς θεάτροις οἱ πραγματίζοντες, ὅταν φαῦλοι * οἱ ἀγωνιζόμενοι ὦσι, τότε μάλιστα αὐτὸ δρῶσιν. ἐπεὶ δ'; ἡ μὲν οἰκεία ἡδονὴ ἀξιακριβοῖ τὰς ἐνεργείας καὶ χείρους & βελτίους ποιεῖ· αἱ δ' ἀλλότριαι

E λυμαίνονται, δῆλον ὡς πολὺ διέστασι· σχεδὸν γὰρ αἱ ἀλλότριαι ἡδοναὶ ποιοῦσιν ὅπερ αἱ οἰκείας λύπαι· φθείρουσι γὰρ τὰς ἐνεργείας αἱ οἰκείαι λύπαι· οἷ εἴτε τὸ γράφειν ἀνδρὲς & ὀπίλυπον, ἢ τὸ λογίζεσθαι, ὁ μὲν οὐ γράφει· ὁ δὲ, οὐ λογίζεται, λυπηρὰς οὔσης τῆς ἐνεργείας. συμβαίνει δὴ περὶ τὰς ἐνεργείας τοιοῦτον ἀπὸ τῶν οἰκείων ἡδονῶν τε & λυτρῶν· οἰκεῖαι δ' εἰσὶν, αἱ ὅτι τῇ ἐνεργείᾳ καθ' αὑτὴν γινόμεναι.

αἱ δ' ἀλλότριαι ἡδοναί, εἴρηται, ὅτι παραπλήσιόν τι τῇ λύπῃ ποιοῦσι· φθείρουσι γάρ, ἀλλ' οὐχ ὁμοίως. διαφερόντων δὲ τῶν ἐνεργειῶν ὀπτικὴ καὶ φαντάσεως, καὶ τούτων μὲν καθαρῶν οὐσῶν· τῶν δὲ, φαύλων· τῶν δὲ, ἑτέρων, ὁμοίως ἔχουσι καὶ αἱ ἡδοναί· καθ' ἑκάστην γὰρ ἐνέργειαν οἰκεία ἡδονὴ ἔστιν. ἡ μὲν οὖν τῇ σπουδαίᾳ οἰκεία, σπουδαία· ἡ δὲ τῇ φαύλῃ, μοχθηρά. καὶ γὰρ αἱ ἐπιθυμίαι, τῶν μὲν καλῶν, ἐπαινεταί· τῶν δ' αἰσχρῶν, ψεκταί. οἰκειότεραι δὲ ταῖς ἐνεργείαις αἱ ἐν αὐταῖς ἡδοναί, τῶν ὀρέξεων· αἱ μὲν γὰρ, διωρισμέναι εἰσὶ καὶ τοῖς χρόνοις, καὶ τῇ φύσει· αἱ δὲ, σύνεγγυς ταῖς ἐνεργείαις, καὶ ἀδιάλειπτοι οὕτως, ὥστ' ἔχειν ἀμφισβήτησιν, εἰ ταὐτόν ἐστιν ἡ ἐνέργεια τῇ ἡδονῇ. οὐ μὴν ἔοικέ γε ἡδονὴ διάνοια εἶναι, οὐδ' αἴσθησις· ἄτοπον γάρ· ἀλλὰ διὰ τὸ μὴ χωρίζεσθαι, φαίνεσθαι ταὐτόν τισιν. ὥσπερ * οὖν αἱ ἐνέργειαι ἕτεραι, καὶ αἱ ἡδοναί. διαφέρει δὲ μὴ ὀλίγον ἡ ὄψις ἁφῆς καθαριότητι, καὶ ἀκοὴ καὶ ὄσφρησις γεύσεως· ὁμοίως * δὴ διαφέρουσι καὶ αἱ ἡδοναί, καὶ τούτων αἱ περὶ τὴν διάνοιαν, καὶ ἑκάτεραι ἀλλήλων. δοκεῖ δ' εἶναι ἑκάστῳ ζώῳ καὶ ἡδονὴ οἰκεία, ὥσπερ καὶ ἔργον· μᾶλλον γὰρ τὴν ἐνέργειάν. καὶ ἐφ' ἑκάστῳ δὲ θεωροῦντι, τοῦτ' ἂν φανείη· ἕτερα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτός φησιν, * ὄνους σύρματα ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. αἱ μὲν οὖν τῶν ἑτέρων ᾧ εἴδει, διαφέρουσιν εἰδεῖ. ταῖς δὲ τῶν αὐτῶν, ἀδιαφόροις δῆλον εἶναι. διαλλάττουσι δὲ οὐ μικρὸν ὅτι γε τῶν ἀνθρώπων· τὰ γὰρ αὐτὰ, τοὺς μὲν λυπεῖ· τοὺς δὲ τέρπει· καὶ τοῖς μὲν, λυπηρὰ καὶ μισητά ἐστι· τοῖς δὲ, ἥδεα καὶ φίλητά. καὶ ὅτι γλυκέων δὲ τοῦτο συμβαίνει· οὐ γὰρ τὰ αὐτὰ τῷ πυρέττοντι δοκεῖ, καὶ τῷ ὑγιαίνοντι, οὐδὲ θερμὰ εἶναι τῷ ἀσθενεῖ καὶ τῷ ἰσχυρῷ· ὁμοίως δὲ καὶ ἐφ' ἑτέρων τοῦτο συμβαίνει. δοκεῖ δ' ἐν ἅπασι τοῖς τοιούτοις εἶναι τὸ φαινόμενον ᾧ σπουδαίῳ. εἰ δὲ τοῦτο καλῶς λέγεται, καθάπερ δοκεῖ, * καὶ ἔστιν ἑκάστου μέτρον ἡ ἀρετὴ, καὶ ὁ ἀγαθὸς, ἢ τοιοῦτος, καὶ ἡδοναὶ εἶεν ἂν αἱ τούτῳ φαινόμεναι, καὶ ἡδέα, οἷς ἔστι χαίρει. μὴ δὲ τοῦτο διίσχυρῃ, εἴτ' φαίνεται ἡδέα, οὐδὲν θαυμαστόν· πολλαὶ γὰρ * φθοραὶ καὶ λύμαι ἀνθρώπων γίνονται

A Sunt autem ii proprii dolores, eæque propriæ voluptates, quæ muneris functionem per se subsequuntur. Diximus autem alienas voluptates simile quiddam dolori efficere: corrumpunt enim, sed dissimili modo. Iam cùm functiones muneris bonitate & vitio inter se differant, aliæque sint expetendæ, aliæ fugiendæ atque aspernandæ, aliæ neutræ: similis est ratio etiam voluptatum. Sua enim cuiusque functionis muneris voluptas est, Atque ea quidem, quæ bonæ propria est, bona est: quæ malæ, vitiosa. Nam & cupiditates rerum honestarum sunt laudabi-
B les: turpium, vituperabiles. Verùm muneris functionibus propinquiores & coniunctiores sunt ex quæ in eis insunt voluptates quàm appetitiones. Hæ enim distinctæ sunt & temporibus & natura: illæ functionibus muneris sunt proximæ & cohærent, itaque sunt indistinctæ & confusæ, vt controuersia sit, an idem sit muneris functio, quod voluptas. Non tamen videtur voluptas, cogitationis aut sensus esse functio. Absurdum enim fuerit. Sed propterea quòd non separantur, idem esse nonnulli existimant. Quem-
C admodum igitur dissimiles sunt inter se muneris functiones, sic & voluptates. Differt autem videndi sensus à tactu, sinceritate, auditusque & odoratus à gustatu. Similiter igitur differunt voluptates: & ab his eæ quæ in cogitatione versantur, & vtræque inter se. Videtur autem sua cuiusque animalis, vt & munus, esse voluptas. Est enim functioni muneris consentanea cuiusque animátis propria. Quod in singulis si quis spectare voluerit, perspicuum esse poterit. Alia enim equi voluptas est, alia canis, alia hominis: quemadmodum ait Heraclitus, asino culmos
D & paleas auro esse optabiliores. Iucundius enim est asinis pabulum, quàm aurum. Eorum igitur, quæ specie differunt, specie quoque differunt voluptates. Eas autem quæ sunt eorumdem, easdem esse probabile est. Verùm in hominibus magna est earum varietas. Eadem enim alios offendunt, alios delectant: & his odiosa ac molesta sunt, illis amabilia & iucunda. Atque hoc in rebus dulcibus vsu venit: non enim eadem ei qui æstu febrique iactatur, & valenti dulcia videntur. Nec idem
E calidum ægro atque imbecillo, & ei cui corpus firmum & bene constitutum est: similiterque hoc in aliis accidit. Sed in omnibus, quæ sunt huiusmodi, id esse videtur, quod viro bono virtutéque prædito videtur. Quòd si hoc rectè dicitur, vt videtur, & si vniuscuiusque rei mẽsura virtus, & vir bonus est, quàlis est: erunt & eæ profectò voluptates, quæ huic videntur voluptates: & ea iucunda, quibus hic delectatur. Neque verò mirum cuiquam esse debebit, si, quæ huic sunt aspera & molesta, ea alicui esse iucũda videãtur. Multæ enim exoriũtur hominũ pestes & corruptelæ.

Non sunt autem illa iucunda, sed his, & sic affectis. Ex igitur quæ sine controuersia sunt inhonestæ voluptates, non sunt videlicet dicendæ voluptates, nisi fortè hominibus corruptis ac deprauatis. Sed earum, quæ videntur esse bonæ, qualis aut quænam hominis dicenda voluptas est? An hoc declarabunt muneris functiones? Has enim suæ consequuntur voluptates. Siue igitur vna, siue plures sunt perfecti & beati viri muneris functiones, ex quæ has perficiunt, voluptates, propriè dici possunt hominis esse voluptates: reliquæ autem secundo loco, & longo post interuallo, quemadmodum & muneris functiones.

A ἡδέα δ' οὐκ ἔστιν, ἀλλὰ τούτοις, καὶ οὕτω διακειμένοις. Ταῖς μὲν οὖν ὁμολογουμένως αἱρεταῖς, δῆλον ὡς οὐ φατέον ἡδονὰς εἶ), πλὴν τοῖς διεφθαρμένοις. τὴν δ' ὑπειληφυῖαν δοκουσῶν εἶ), ποίαν ἢ τίνα φατέον τὴν ἀνθρώπου εἶ); ἢ ἐκ τῆς ἐνεργείας δῆλον; ταύταις γὰρ ἕπονται αἱ ἡδοναί. εἴτ' οὖν μία ἐστὶν, εἴτε πλείους, αἱ τὸν τελείου καὶ μακαρίου ἀνδρὸς, αἱ ταύταις τελειοῦσαι ἡδοναί, κύριως λέγοιντ' ἂν ἀνθρώπου ἡδοναὶ εἶ). αἱ δὲ
B λοιπαὶ, δευτέρως καὶ πολλοστῶς, ὥσπερ αἱ ἐνέργειαι.

CAPVT VI.

Principiis omnibus vitæ beatæ expositis, reassumit denuò ipsum finem, Beatitudinem scilicet: vt à quo ceu fundamento disputatio de moribus cœpit, in idem reuoluatur. Ostendit autem Beatitudinis naturam & essentiam in genere.

ΚΕΦΑΛ. ς'.

Περὶ εὐδαιμονίας· ὅτι οὐκ ἐν ταῖς διαγωγαῖς ἐστιν, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις.

EXpositis iis quæ ad virtutes, amicitias, & voluptates pertinent; reliquum est vt de beatitudine, quoniam eam vltimum bonorum humanorum ponimus, formam eius ad- C umbrantes, disseramus. Itaque repetitis iis quæ suprà diximus, breuior erit oratio. Diximus autem non esse habitum. Nam si ita esset, eius compos esse posset etiam is qui in omni vita nihil aliud quàm dormiat, & stirpis vitam degat, & qui maximis calamitatibus afficiatur. Quòd si hæc non probantur, sed functio quædam muneris potiùs statuenda est, quemadmodum superioribus libris ostendimus: & si muneris functiones aliæ sunt necessariæ, & propter alia expetendæ, aliæ per se, perspicuum est, beatitudinem in earum numero, D quæ per se sunt expetendæ, non earum quæ propter aliud, habendam esse. Nullius enim rei beatitudo indiget, sed suis bonis contenta est. Per se autem eæ sunt optabiles, à quibus nihil præter ipsam functionem muneris requiritur. Quales videntur esse tum consentaneæ virtuti actiones, (nam in rebus honestis ac bonis agendis assiduè versari, in rebus per se expetendis numeratur,) tum etiam ex ludis, ii qui remissionis animorum, & oblectationis causa sunt instituti. Non enim propter aliud eos sequuntur, cùm detrimento ab iis afficiãtur potiùs quàm vtilitatẽ capiant, neq; corporũ neque fortunarũ curam habentes. Atq; ad talem viuendi consuetudinẽ confugiunt plerique eorum qui habentur beati. Itaque apud reges & principes magno sunt in honore & pretio, qui in huiusmodi vitæ degendæ consuetudine sunt comes & vrbani. Nam quæ illi expetũt, in his sese præbẽt suaueis & iucũdos. Quo genere hominum illi indigẽt. Hæc igitur ad vitam beatam idcirco videntur pertinere,

E Ἰρημένων δὲ τῶν περὶ τὰς ἀρετάς τε Libro I.
καὶ φιλίας καὶ ἡδονὰς, λοιπὸν περὶ εὐδαιμονίας τούτῳ διελθεῖν, ὑπὲρ τέλους αὐτοῦ ἡμῖν τῶν ἀνθρωπίνων. ἀναλαβοῦσι δὴ τὰ προειρημένα, σύντομώτερος ἂν εἴη ὁ λόγος. * εἰ πολλὴ δ', οὐκ ἔστιν ἕξις· καὶ κ. τ. λ. γὰρ τῶν καθεύδοντα βίου ἂν ἀρχοι καὶ φυτῶδη ζωὴν βίον, καὶ τῶν δυστυχοῦντα μέγιστα. * Εἰ δὴ ταῦτα μὴ ἀρέσκει, ἀλλὰ μᾶλλον εἰς ἐνέργειάν τινα ἥκτέον, καθάπερ ἐν τοῖς πρόσθεν εἴρηται· τῶν δ' ἐνεργειῶν, αἱ μὲν, εἰσὶν ἀναγκαῖαι καὶ δι' ἕτερα αἱρεταί· αἱ δὲ, καθ' αὑτάς· δῆλον ὅτι τὴν εὐδαιμονίαν, τῶν καθ' αὑτὰς αἱρετῶν τινα ἥκτέον, καὶ οὐ τῶν δι' ἄλλο. εὐθυβίος γὰρ ἐνδεὴς ἡ εὐδαιμονία, ἀλλ' αὐταρκης. καθ' αὑτὰς δ' εἰσὶν αἱρεταί, ἀφ' ὧν μηδὲν ἐπιζητεῖται πλὴν τὴν ἐνέργειαν. * πρ. πλεῖστα
τοιαῦται δ' εἶ) δοκοῦσιν αἱ κατ' ἀρετὴν πράξεις· τὰ γὰρ καλὰ καὶ σπουδαῖα πράττειν, τῶν δι' αὑτὰ αἱρετῶν·) καὶ τῶν παιδιῶν δὲ, αἱ ἡδεῖαι· οὐ γὰρ δι' ἕτερα αὐτὰς αἱροῦνται· βλάπτουσι) γὰρ μᾶλλον ἢ ὠφελοῦσι, ἀμελοῦντες τοῦ σώματος καὶ τῆς κτήσεως. καλοῦνται δ' ὑπὸ τῶν τοιούτους διαγωγὰς τῶν εὐδαιμονιζομένων οἱ πολλοί· διὸ παρὰ τοῖς τυράννοις εὐδοκιμοῦσιν οἱ ἐν ταῖς τοιαύταις διαγωγαῖς εὐτράπελοι· ὧν γὰρ ἐφίενται, ἐν τούτοις παρέχουσι σφᾶς αὐτοὺς ἡδεῖς· δέον·) ὃ * τοιού- πρ. πάντ.
των. δοκεῖ μὲν οὖν εὐδαιμονικὰ πάντα εἶ),

Sylb. δὲ πῶς ἐν τῷ δ' Lib. 1. c. 5 γρ. ἀπασχολάζειν.

* Διὰ τοὺς ἐν ταῖς δυναστείαις ἐν τούτοις ἀποχολάζειν. οὐδὲν δὲ ἴσως σημεῖον οἱ τοιοῦτοί εἰσιν· οὐ γὰρ ἐν τῷ δυναστεύειν ἡ ἀρετή, οὐδ' ὀνοις, ἀφ' ὧν αἱ σπουδαῖαι ἐνέργειαι. οὐδ' εἰ ἄγλυκοι οὕτοι ὄντες ἡδονῆς εἰλικρινοῦς καὶ ἐλευθερίου, ὅτι τὰς σωματικὰς καταφεύγουσι· δεῖ γὰρ τούτας οἰντέον αἱρετωτέρας εἶ). καὶ γὰρ οἱ παῖδες, ᾧ * περὶ αὐτοῖς πιμώμενα, κεφάλιστα οἴονται εἶ). γρ in manuscrip. περ' αὐτοῖς idque malo.

βούλεται δή, ὥσπερ παισὶ καὶ ἀνδράσιν ἕπεσθαι B φαίνεται τίμια, οὕτω καὶ φαύλοις καὶ βελτίοσι χέσι. καθάπερ οὖν πολλάκις εἴρηται, καὶ τίμια καὶ ἡδέα ἐστὶ τὰ τῷ σπουδαίῳ τοιαῦτα ὄντα· ἑκάστῳ δὲ ἡ κατὰ τὴν οἰκείαν ἕξιν, αἱρετωτάτη ἐνέργεια· καὶ τῷ σπουδαίῳ δὲ κατὰ τὴν ἀρετήν. οὐκ ἐν παιδιᾷ ἄρα ἡ εὐδαιμονία. καὶ γὰρ ἄτοπον τὸ τέλος εἶ) παίζειν, καὶ σπουδάζειν καὶ κακοπαθεῖν τὸν βίον ἀπράγμονα τοῦ παίζειν χάριν. ἅπαντα γὰρ, ὡς εἰπεῖν, ἑτέρου χάριν αἱρούμεθα, πλὴν τῆς εὐδαιμονίας· τέλος γὰρ αὕτη. σπουδάζειν δὲ καὶ πονεῖν παιδιᾶς χάριν, ἠλίθιον φαίνεται καὶ λίαν παιδικόν· παίζειν δ' ὅπως σπουδάζῃ κατ' Ἀνάχαρσιν, ὀρθῶς ἔχειν δοκεῖ· ἀναπαυσις γὰρ ἔοικεν ἡ παιδιά. ἀδυναμοῦντες δὲ συνεχῶς πονεῖν, ἀναπαύσεως δέονται· οὐ δὴ τέλος ἡ ἀνάπαυσις· γὰρ γὰρ ἕνεκα τῆς ἐνεργείας. δοκεῖ δ' ὁ εὐδαίμων βίος κατ' ἀρετὴν εἶ). οὗτος δὲ * σπουδαῖος, ἀλλ' οὐκ ἐν παιδιᾷ. γρ. μὴ σπουδῆς

βελτίω τε λέγομεν τὰ σπουδαῖα, τὴν γελοίων καὶ μετὰ παιδιᾶς, καὶ τὸν βελτίονος ἀεὶ C ἐστὶ καὶ μείου καὶ ἀνδρὸς σπουδαιοτέραν τῶν ἐνέργειαν· * ἡ δὲ τοῦ βελτίονος, κρείττων καὶ γρ. εἰ δὲ τ. εὐδαιμονικωτέρα ἐστίν. ἀπολαύσεται τ' αὖ τῆς σωματικῆς ἡδονῆς ὁ τυχών, καὶ ἀνδραποδώδη, οὐχ ἧττον τοῦ ἀρίστου εὐδαιμονίας δ' οὐδεὶς ἀνδραποδώδῃ μεταδίδωσιν, εἰ μὴ καὶ βίου· οὐ γὰρ ἐν ταύταις ἀφορμαῖς ἡ εὐδαιμονία, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ καὶ πρότερον εἴρηται.

ΚΕΦΑΛ. ζ'.

Ὅτι σοφὸς καὶ κυβερνητικὸς καὶ τὰς θεωρητικὰς ἀρετὰς ἡ εὐδαιμονία ἔχει.

ΕΙ δ' ἔστιν ἡ εὐδαιμονία, κατ' ἀρετὴν ἐνέργεια, εὔλογον καὶ τὴν κρατίστην· * αὕτη δ' εἴη τοῦ ἀρίστου. εἴτε δὴ νοῦς τοῦτο,

A quia homines imperio ac potestate præditi talibus in rebus totos dies occupati sunt. Sed ex huiusmodi hominũ vita fortasse huius rei argumentum sumi non debet. Neque enim in principatu & potentia consistit virtus, neque mẽs, à quibus probæ muneris functiones proficiscuntur: neque si hi, quia puram & liberalẽ voluptatem nunquam gustarunt, ad corporis voluptates confugiunt: idcirco nos oportet existimare has magis esse expetendas. Nam & pueri, quæ apud ipsos in honore sunt & pretio, arbitrantur esse optima. Probabile est igitur, quemadmodum alia pueris, alia viris, magni pretii esse videntur: sic alia videri vitiosis hominibus, alia bonis viris. Ea igitur, vt sæpe à nobis dictum est, & magni pretii & iucunda sunt, quæ viro bono, virtutéque prædito talia sunt. Sed cùm vnicuique homini ea quæ cuiusq; habitui conuenit, muneris functio optabilissima est; tum viro bono, ea quæ virtuti. Non igitur in ludo vita beata posita est. Absurdum sit enim vltimum bonorum esse ludum & iocum, totamque vitam in negotio C conterere, plurimosque labores adire, ac molestias suscipere ludendi ac iocãdi causa. Omnia enim fere propter aliud sequimur & optamus, præterquam vitam beatam: hæc enim omnium bonorum finis est: res autem seras agere, & laborem sufferre ac perpeti ludi causa, stultum videtur, valdéque puerile. Ludere verò vt res serias agas (vt sentit Anacharsis) probãdum videtur. Requieti enim similis ludus est. Verùm quoniam perpetuum laborem ferre non possumus, laxamenti & requietis indigemus. Non est igitur finis requies. Fungendi enim muneris causa quiescimus & cessamus. Præterea vita beata ea videtur esse, quæ ex virtute est. At hæc in rebus grauibus & seriis, non in ludo, neque in ioco posita est. Iam verò meliores esse res serias ridiculis, ludicrisque ac iocosis: & tum partis animi, tum hominis melioris functionem semper esse grauiorem magisque seriam dicimus. At melioris partis hominisve functio & ipsa melior est, & ad vitam beatam efficiendam plus valet. Præterea corporis voluptatibus postremus homo & mancipium, non minùs quã vir optimus & præstantissimus, potiatur: beatitudinẽ autem mancipio impertit nemo, nisi & vitam cum virtute cõiunctam. Non enim in talibus E vitæ degendæ generibus beatitudo posita est, sed in actionibus virtuti consentaneis, quemadmodum & suprà diximus.

CAPVT VII.

Beatitudinis species & differentias persequitur. Inter quas primum locum obtinet Beatitudo contemplatiua.

QVòd si beatitudo muneris functio est, virtuti consentanea, probabile est eam præstantissimæ virtuti esse consentaneam. Atque hæc fuerit eius quod in homine est optimum. Siue igitur quidem hoc mens sit, siue

siue aliud quippiam, quod videtur imperare ac præesse debere natura, rerũq; honestarũ ac diuinarũ in sese notionẽ cõtinere, (siue diuinũ sit hoc ipsũ, siue eorum quæ in nobis sũt, diuinissimũ,) huius muneris fũctio ex propria virtute, perfecta & absoluta erit beatitudo. Esse autẽ in contẽplatione rerũ positã, suprà diximus. Quod quidẽ & superioribus nostris disputationibus, & veritati congruere videatur. Præstantissima enim hæc est muneris functio: nã & eorũ quæ sũt in nobis, mẽs quiddam est lõgè optimũ, & omniũ quæ cognosci possunt, ea quæ mẽte cõplectimur, longè sũt optima. Præterea verò & maximè assidua: nam res assiduè contẽplari magis quã quiduis agere possumus. Et cũ beatitudini admistã & quasi implicatã esse voluptatẽ arbitremur; tũ omnium muneris functionũ, quæ virtuti congruũt, eã quæ ex sapiẽtia est, iucũdissimã esse omnes vno ore cõsentiunt. Videtur itaq; sapientia mirabiles quasdã tũ sinceritate tũ stabilitate voluptates cõtinere. Probabile est autẽ, eos qui sciunt, quàm eos qui quęrunt, vitam traducere iucũdiorẽ. Tum ea quæ appellatur vita bonis omnibus per se cumulata, nihilque externũ desiderans, in ea beatitudine maximè, quæ in rerũ contemplatione versatur, reperietur. Nam eorum sanè, quæ ad cultum vitæ necessaria sunt, & sapiens, & iustus, & reliqui omnes indigent. Sed cùm hi talibus abundè fuerint instructi; vir iustus erga quos & cum quibus iustas actiones obeat, itémque temperãs, & fortis, & cæteri desiderabunt. At sapiens etiam cùm secum erit, res poterit contemplari, tantóque magis, quanto sapientior fuerit: fortasse verò melius, si quos habeat adiutores: veruntamen omnium maximè seipso contentus est. Videatur autem ea sola beatitudo propter se diligi. Nihil enim ex ea redit præter cõtemplationem. Ex iis autem rebus quæ sub actionem veniunt, aliquid præter actionẽ aut plus aut minus consequimur. Præterea beatitudo in otio videtur esse sita. Versamur enim in rebus gerendis, vt in otio viuamus: & bella gerimus, vt in pace viuamus. Ac virtutum quidem earum, quæ ad agendum valent, functiones aut in ciuilibus aut in bellicis rebus positæ sunt: atque eæ quæ in his versantur, actiones negotiosæ videntur esse. De bellicis igitur minimè dubium est quin sint omnino negotiosæ. Nemo enim bellum gerẽdum, neque apparandum suscipit, vt bellum gerat. Videatur enim planè impurus quidã sicarius ac sceleratus, si cum amicis inimicitias suscipiat, vt prælia committantur, & cædes fiant. Hominis quoq; qui in republica gerenda versatur, administratio negotiosa est: quæ, præter ipsam reipublicæ administrãdæ curam atque operam, potentiam & honores, aut beatitudinem, tum ei tum ciuibus comparat, à facultate ciuili diuersam ac differentem: quam etiam vt diuersam videlicet quærimus.

A εἴτε ἄλλό τί, ὃ δὴ κατὰ φύσιν δοκεῖ ἄρχειν καὶ ἡγεῖσθαι, καὶ ἔννοιαν ἔχειν τοῦ καλοῦ καὶ θείων. (εἴτε θεῖον ὂν καὶ αὐτό, εἴτε τῶν ἐν ἡμῖν θειότατον·) ἧς τούτου ἐνέργεια κατὰ τὴν οἰκείαν ἀρετὴν εἴη ἂν ἡ τελεία εὐδαιμονία. ὅτι δ' ἐστὶ θεωρητική, * εἴρηται. ὁμολογούμενον δὲ τοῦτ' ἂν δόξειεν εἶναι, καὶ τοῖς προτέροις, καὶ τῇ ἀληθείᾳ· κρατίστη τε γὰρ αὕτη ἐστὶν ἧς ἐνέργεια· καὶ γὰρ ὁ νοῦς τῶν ἐν ἡμῖν, καὶ τῶν B γνωστῶν, τούτων ἃ ὁ νοῦς. ἔτι δὲ συνεχεστάτη· θεωρίᾳ τε γὰρ δυνάμεθα συνεχῶς μᾶλλον, ἢ πράττειν ὁτιοῦν. οἰόμεθά τε δεῖν ἡδονὴν προσμεμίχθαι τῇ εὐδαιμονίᾳ. ἥδιστη δ' τῶν κατ' ἀρετὰς ἐνεργειῶν, ἢ κατὰ τὴν σοφίαν ὁμολογουμένως ἐστί. δοκεῖ γοῦν * ἡ σοφία θαυμαστὰς ἡδονὰς ἔχειν καθαριότητί τε καὶ * τῷ βεβαίῳ. εὔλογον δὲ τοῖς εἰδόσι τὴν ζητουμένην ἡδίω τὰν ἀγωγὴν εἶναι. ἥτε λεγομένη αὐταρκεια, τούτου μὲν δι' αὐτὸν ἀγαπᾶσθαι· τοιοῦτον γὰρ C εἶναι· τῶν μὲν γὰρ πρὸς τὸ ζῆν ἀναγκαίων, καὶ σοφὸς, καὶ δίκαιος, καὶ οἱ λοιποὶ δέονται· τοῖς δὲ τοιούτοις ἱκανῶς κεχορηγημένοις, ὁ μὲν δίκαιος δεῖται πρὸς οὓς δικαιοπραγήσει, καὶ μὴ ὤν· ὁμοίως δὲ καὶ ὁ σώφρων, καὶ ὁ ἀνδρεῖος, καὶ τῶν ἄλλων ἕκαστος· ὁ δὲ σοφὸς, καὶ καθ' αὑτὸν ὢν, δυνατὸς θεωρεῖν· καὶ ὅσῳ μὲν * σοφὸς ἢ μᾶλλον· βέλτιον δ' ἴσως, συνεργοὺς * ἔχων· ἀλλ' ὅμως αὐταρκέστατος. δόξειε δ' ἂν αὐτὴν μὲν δι' αὑτὴν ἀγαπᾶσθαι· D οὐδὲν γὰρ ἀπ' αὐτῆς γίνεσθαι πλὴν τὸ θεωρῆσαι. ἀπὸ δὲ τῶν πρακτῶν, ἢ πλεῖον ἢ ἔλαττον πολιτικὰς πράξεις. δοκεῖ τε ἡ εὐδαιμονία ἐν τῇ σχολῇ εἶναι· ἀσχολούμεθα γὰρ, ἵνα σχολάζωμεν. καὶ πολεμοῦμεν, ἵνα εἰρήνην ἄγωμεν. τῶν μὲν οὖν πρακτικῶν ἀρετῶν, ἐν τοῖς πολιτικοῖς ἢ τοῖς πολεμικοῖς αἱ ἐνέργειαι· αἱ δ' περὶ ταῦτα πράξεις δοκοῦσιν ἄσχολοι εἶναι· αἱ μὲν οὖν πολεμικαὶ, καὶ πάντελεῖς· οὐδεὶς γὰρ αἱρεῖται πολεμεῖν, τοῦ πολεμεῖν ἕνεκα, E οὐδὲ * παρασκευάζειν πόλεμον· δόξαι γὰρ ἂν πάντελῶς μιαιφόνος τις εἶναι, εἰ τοὺς φίλους πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ φόνοι γίνοιντο. ἔστι δὲ καὶ ἡ τοῦ πολιτικοῦ, ἄσχολος, καὶ περὶ αὐτὸ τὸ πολιτεύεσθαι, πλὴν ἀπὸ τοιαύτης δυνατείας καὶ τιμαί· καὶ τῷ γε εὐδαιμονίᾳ αὐτὴ καὶ τοῖς πολίταις, ἑτέραν οὐσαν τῆς πολιτικῆς, ὧν καὶ ζητοῦμεν· δῆλον ὡς ἑτέραν οὐσαν.

Li. 1. c. vlt.

Eustr. ἡ φιλοσοφία

Eustr. τῷ ἡμῖν.

γρ. σοφώτερος

γρ. ἔχων.

γρ. in manuscr. παρασκευάζειν. idq; probo.

Εἰ δὴ, τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων * αἱ πολιτικαὶ καὶ πολεμικαὶ, κάλλει καὶ μεγέθει προέχουσιν. αὗται δὲ ἄσχολοι καὶ τέλους τινὸς ἐφίενται, καθ' αὑτὰς εἰσιν αἱρεταί· ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδῇ τε διαφέρειν δοκεῖ, θεωρητικὴ οὖσα, καὶ περὶ αὐτὴν οὐδενὸς ἐφίεσθαι τέλους, ἔχειν τε ἡδονὴν οἰκείαν· (αὕτη δὲ συναύξει τὴν ἐνέργειαν·) καὶ τὸ αὐτάρκες δὲ καὶ σχολαστικὸν, καὶ ἄπυτον, ὡς ἀνθρώπινον, καὶ ὅσα ἄλλα τῷ μακαρίῳ ἀπονέμεται, κατ' ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα. εἰ τελεία δὴ εὐδαιμονία αὕτη ἂν εἴη ἀνθρώπου, * καθοδσα μήκους βίου τέλειον· οὐδὲν γὰρ ἀτελὲς ἔστι τῶν τῆς εὐδαιμονίας. ὁ δὲ τοιοῦτος δὴ εἴη κρείττων βίος, εἰ κατ' ἄνθρωπον· οὐ γὰρ ἢ ἄνθρωπός ἐστιν, οὕτω βιώσεται, ἀλλ' ἧ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει· ὅσῳ δὲ διαφέρει τοῦτο τοῦ συνθέτου, τοσούτῳ καὶ εἰ ἐνέργεια, τῆς κατὰ τὴν ἄλλην ἀρετήν. εἰ δὴ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τοῦτον βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. χρὴ δὲ οὐ κατὰ τοὺς παραινοῦντας, ἀνθρώπινα φρονεῖν, ἀνθρώπου ὄντα, οὐδὲ θνητὰ τὰ θνητόν, ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀπαθανατίζειν, καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ· εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρόν ἐστι, * δυνάμει καὶ ἁμιότητι πολὺ μᾶλλον ὑπερέχει πάντων. δόξειε δ' ἂν καὶ ἕκαστος εἶναι τοῦτο, εἴπερ τὸ κύριον καὶ ἄμεινον. ἄτοπον οὖν γένοιτ' ἄν, εἰ μὴ τὸν αὑτοῦ βίον αἱρεῖτο, ἀλλά τινος ἄλλου· * τὸ λεχθέν τε πρότερον ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον ἑκάστῳ τῇ φύσει, κράτιστον καὶ ἥδιστον ἑαυτῷ ἑκάστῳ. καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος, εἴπερ μάλιστα τοῦτο ἄνθρωπος. οὗτος ἄρα καὶ εὐδαιμονέστατος.

γρ. αἱ πολεμικαὶ καὶ πολιτικαὶ,

γρ. θαλαττουσα, apud Eustrat.

γρ. ἀλλὰ δυνάμει

γρ. ἕκαστον

Lib. 9. c. 4.

ΚΕΦΑΛ. η'.

Ὅτι δευτέρως ἡ εὐδαιμονία κατὰ τὴν πρακτικὴν ἀρετὴν ἐστί. πάλιν ὃ καὶ περὶ τῆς θεωρητικῆς εὐδαιμονίας λέγει, ἐγκωμιάζων αὐτὴν, καὶ συγκρίνων αὐτάς.

ΔΕΥΤΕΡΩΣ δ', ὁ κατὰ τὴν ἄλλην ἀρετήν· αἱ γὰρ κατ' αὐτὴν ἐνέργειαι, ἀνθρωπικαί· δίκαια γὰρ καὶ ἀνδρεῖα, καὶ τὰ ἄλλα τὰ κατὰ τὰς ἀρετὰς,

A Si ciuiles igitur & bellicæ actiones, omnibus iis quæ virtutibus consentaneæ sunt, actionibus pulchritudine ac magnitudine antecellunt; hæ autem sunt negotiosæ, finémque aliquem expetunt, neque propter se sunt expetendæ; mentis verò functio grauitate & studio rerum seriarum videtur præstare cæteris, cùm in rerum contemplatione versetur; & præter eam nullum alium finem expetere, propriámque voluptatem habere, (hæc autem muneris functionem amplificat,) copiam autem bonis omnibus cumulatam, nihilque præterea desiderantem, & liberam cessandi otiandique facultatem, & occupationem defatigationis ex-
B pertem, quantum res humanæ ferunt, & quæcunque alia beato tribuuntur, in hac functione muneris inesse constat: si igitur ita est, perfecta sanè fuerit hæc hominis beatitudo, si perfectam vitæ longitudinem adepta sit. Nihil enim eorum quæ sunt beatitudinis, inchoatum & imperfectum est. Erit autem talis vita melior, quàm hominis natura ferat. Non enim quà homo est, ita viuet: sed quà diuinum quiddam in eo inest. Quanto autem hæc particula toti & concreto antecellit, tanto & eius functio muneris ei functioni præstat, quæ alii
C virtuti consentanea est. Si igitur mens cum homine comparata diuinum quiddam est; vita quoque menti consentanea, diuina sit necesse est, si cum humana conferatur. Neque verò nos oportet humana sapere ac sentire, vt quidam monent, cùm simus homines: neque mortalia, cùm mortales: sed nos ipsos, quoad eius fieri potest, à mortalitate vindicare, atque omnia facere, vt ei nostri parti, quæ in nobis
D est optima, conuenienter viuamus. Nam etsi mole parua est, potestate tamen & honoris gradu longè omnibus antecellit. Et verò pars hæc vnusquisque nostrûm esse videatur: si quidem id quod principatum obtinet, etiam melius est. Absurdum igitur fuerit, si quis non suam sed alienam vitam expetat, & sequatur. Præterea quod antè à nobis dictum est, etiam huic loco conueniet. Nam quod cuiusque proprium est natura, idem & optimum cuique est, & iucundissimum. Ergo & homini optima ea vita est, quæ menti conuenienter traducitur: si quidem hæc pars homo est maximè. Hæc igitur vita est beatissima.

CAPVT VIII.

E

Altera species Beatitudinis, ordine & dignitate posterior, est Beatitudo actiua.

SEcundo autem loco ea quæ alii virtuti consentanea est. Muneris enim functiones ei conuenientes; humanæ sunt. Iustitiæ enim & fortitudinis, & aliarum virtutum muneribus inter nos fungimur,

in rebus contrahendis, in neceſſariis ac diffici- A
libus & noſtris & aliorum temporibus, variiſ-
que actionibus, denique in perturbationibus
quod cuique decorum eſt, conſeruantes. Hęc
porrò omnia videntur eſſe humana. Nonnul-
la autem & à corpore videntur proficiſci,
multiſque in rebus virtus morum cum per-
turbationibus eſſe coniuncta. Quin pruden-
tia quoque cum virtute morum, & hæc cum
prudentia copulata eſt: ſi quidem prudentiæ
principia ex virtutibus morum conſtant, &
quod recti in virtutibus ineſt, prudentia mo-
deratur. Cùm ſint autem hæ perturbationi- B
bus quoque implicatæ, in eo etiam, quod ex
animo & corpore conflatum eſt, inerunt. At
eius quod compoſitum & concretum eſt, vir-
tutes, humanæ ſunt. Ergo & vita ei conſenta-
nea, & beatitudo: Mentis beatitudo autem
ſeiuncta eſt. De ea enim hactenus dictum ſit.
Nam ſubtilius & preſſius de ea diſputare, ma-
ioris negotii eſt quàm id quod nobis propoſi-
tum eſt. Videatur autem & externorum bo-
norum copia parum admodum egere, aut mi-
nus, quàmea beatitudo quæ moribus conti-
netur. Demus enim vtrique rebus ad victum
neceſſariis vel peræquè opus eſſe, (quamuis C
in corpore, & cæteris huius generis magis ela-
borat is qui ſe ad remp. adminiſtrandam con-
tulit,) parum enim referat: ſed ad muneris
functiones multum referet. Liberali enim,
pecunia opus erit ad actiones liberales, & iu-
ſto ad remunerationes, rerúmque creditarum
ſolutiones, (obſcuræ ſunt enim hominum vo-
luntates, multique ſimulant ſe res iuſtas age-
re velle, etiam ij qui non ſunt iuſti,) viro forti
autem, copiis & potentia, ſi quidem aliquid
ſuæ virtuti conſentaneum effecturus eſt: &
temperanti, auctoritate & licentia. Alioqui
quomodo ſciri poterit, ſitne talis, an qui-
dam alius? Quæritur autem vtrùm in virtute D
conſilium dominetur magis, an actiones, per-
inde quaſi virtus in vtriſque conſiſtat. Mini-
mè igitur illud obſcurum eſt, in vtriſque per-
fectionem eſſe ſitam; ad actiones autem mul-
ta deſiderari, tantóque plura, quanto fuerint
maiores & pulchriores. Ei autem qui res a-
nimo cernit & contemplatur, ad muneris
functionem nullis talibus opus eſt: immò ve-
rò ea contemplationi rerum penè dicam im-
pedimento ſunt. Quà autem homo eſt, &
cum pluribus vitæ conſuetudine coniungi- E
tur, ſtudet etiam ea quæ virtuti conſenta-
nea ſunt, agere. Talibus igitur rebus egebit,
vt cum hominibus verſetur & humaniter vi-
uat. Perfectam autem beatitudinem, fun-
ctionem quandam muneris eſſe, in rerum
contemplatione poſitã, etiam ex hoc perſpi-
cere licet, quòd deos feliciſſimos ac bea-
tiſſimos eſſe arbitramur. Actiones autem,
quas eis tribuere nos oportet? Iuſtáſne? an
ridiculi videbuntur contrahentes inter ſe,
& depoſita reddentes, & cætera id genus?

πρὸς ἀλλήλους πραγματείαν ἐν συναλλάγμασι καὶ χρείας καὶ πράξεσι πολιτείας, ἔν τε τοῖς πάθεσι τὸ μέτριον ἑκάστῳ * διατηροῦντες. Ταῦτα δ' εἰ φαίνεται πάντα ἀνθρώπινα. ἔνια δὲ καὶ συμβαίνειν ἀπὸ τοῦ σώματος δοκεῖ· καὶ πολλὰ συνῳκειῶσθαι τοῖς πάθεσιν ἡ τοῦ ἤθους ἀρετή. συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ, καὶ αὕτη τῇ φρονήσει, εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαί, καὶ τὰς ἠθικὰς εἶναι ἀρετάς. τὸ δ' ὀρθὸν τῆς ἠθικῆς, καὶ τῆς φρονήσεως. * συνηρτημένας δ' αὖ καὶ τοῖς πάθεσι, καὶ τὸ σύνθετον αὖ εἶεν· * αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ, ἀνθρώπιναί. καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία. ἡ δὲ τοῦ νοῦ, κεχωρισμένη· τοσοῦτον γὰρ εἰρήσθω * εἰρήσθω· διακριβοῦσθαι γὰρ, μεῖζον τοῦ προκειμένου ἔργου ἐστί. δόξειε δ' ἂν καὶ τῆς ἐκτὸς χορηγίας ὀλίγον ἢ μικρὸν ἢ ἔπ' ἔλαττον δεῖσθαι τῆς ἠθικῆς· τοῦ μὲν γὰρ ἀναγκαίων ἀμφοῖν χρεία καὶ ἐξ ἴσου ἔστω· (εἰ καὶ μᾶλλον ἀπονέμει τὸ σῶμα ὁ πολιτικὸς, καὶ ὅσα τοιαῦτα·) μικρὸν γὰρ ἂν τι διαφέροι· πρὸς δὲ τὰς ἐνεργείας, πολὺ διοίσει. τοῦ μὲν γὰρ ἐλευθερίῳ δεῖσθαι χορηγίᾳ, πρὸς τὸ ποιῆσαι τὰ ἐλευθέρια· καὶ τοῦ δικαίου δὲ, εἰς τὰς ἀνταποδόσεις· (αἱ γὰρ βουλήσεις, ἄδηλοι· προσποιοῦνται δὲ καὶ οἱ μὴ δίκαιοι βούλεσθαι δικαιοπραγεῖν·) ᾧ δυνατῷ δρείῳ δὲ, δυνάμεως, εἴπερ ὑπάρξει τι τοῦ κατ' ἀρετήν· ἢ τοῦ σώφρονι, ἐξουσίας. πῶς γὰρ δῆλος ἔσται, ἢ * ἔσται, ἢ τῶν ἄλλων τις; ζητεῖται δὲ πότερον κυριώτερον τῆς ἀρετῆς ἡ προαίρεσις, ἢ αἱ πράξεις, ὡς ἐν ἀμφοῖν οὔσης. τὸ δὴ τέλειον, δῆλον ὡς ἐν ἀμφοῖν δεῖ εἶναι· πρὸς δὲ τὰς πράξεις, πολλῶν δεῖται· καὶ ὅσῳ μὲν μείζους ὦσι καὶ καλλίους, πλόνων. τοῦ δὲ θεωροῦντι, οὐδενὸς τῶν τοιούτων, πρὸς γε τὴν ἐνέργειαν, χρεία, ἀλλ' ὡς εἰπεῖν, καὶ * ἐμπόδια ἐστὶ πρός γε τὴν θεωρίαν· ἢ δ' ἀνθρωπός ἐστι, καὶ πλείοσι συζῇ, αἱρετὸν καὶ τὰ κατ' ἀρετὴν πράττειν. δεήσεται οὖν τῶν τοιούτων πρὸς τὸ ἀνθρωπεύεσθαι· ἢ ἡ τελεία εὐδαιμονία, ὅτι θεωρητική τίς ἐστιν ἐνέργεια, καὶ ἐντεῦθεν ἂν φανείη * τοὺς θεοὺς μάλιστα ὑπειληφέναι μὲν μακαρίους, καὶ εὐδαίμονας εἶναι· πράξεις 13 c. 7.
ἢ ποίας ἀπονεμοῦμεν χρεών αὐτοῖς; πότερα τὰς δικαίας; ἢ γελοῖοι φανοῦνται συναλλάττοντες καὶ παρακαταθήκας ἀποδιδόντες, καὶ ὅσα τοιαῦτα

Euſtr. συνηρτ. ἧ αὖται καὶ τοῖς πάθεσι, γρ. αἱ δὲ

γρ. διαιρεῖται.

γρ. ἔσται.

γρ. τοιοῦτος

γρ. ἐμπόδιόν ἐστι.

γρ. πῶς αἱ-δρείους; γρ. πῶς ἐλευθερίους; κ. αἱ σώφρονες,

ζιαῦτα; ἀλλὰ * τοὺς ἀνδρείους; ὑποφέρον-τας τὰ φοβερὰ καὶ κινδυνεύοντας, ὅτι καλόν. ἢ * τοὺς ἐλευθερίους; τίνι δὲ δώσουσιν; ἄτοπον δ', εἰ ἔσται αὐτοῖς νόμισμα, ἢ τι τοιοῦτον. * εἰ δὲ σώφρονες, τί αὖ εἶεν; ἢ φορτικὸς ὁ ἔπαινος, ὅτι οὐκ ἔχουσι φαύλας ἐπιθυμίας; διεξιόσι δὲ πολύπους φαίνοιτ' ἂν τὰς περὶ τοὺς σοφίσ, μικρὰ καὶ φαύλα θεῶν. ἀλλὰ μὴν ζῆν τε πρῶτος ὑπειλήφασιν αὐτούς· καὶ ἐνεργεῖν ἄρα· οὐ γὰρ δὴ καθεύδειν, ὥσπερ τὸν Ενδυμίωνα. πᾶ δὴ ζῶντι τῷ πράξιν ἀφῃρημένῳ, ἔτι δὲ μᾶλλον τῷ ποιῆσαι, τί λείπεται πλὴν θεωρίας; ὥστε ἡ τοῦ Θεοῦ ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη· καὶ τῶν ἀνθρωπίνων δὴ ἡ ταύτῃ συγγενεστάτη, εὐδαιμονικωτάτη. σημεῖον δέ, καὶ ὃ μὴ μετέχειν τὰ λοιπὰ ζῶα εὐδαιμονίας, τῆς τοιαύτης ἐνεργείας ἐστερημένα τελείως. τοῖς μὲν γὰρ θεοῖς πᾶς ὁ βίος μακάριος· τοῖς δ' ἀνθρώποις, ἐφ' ὅσον ὁμοίωμά τι τῆς τοιαύτης ἐνεργείας ὑπάρχει· τῶν δ' ἄλλων ζώων οὐδὲν εὐδαιμονεῖ· ὅτῳ μηδαμοῦ κοινωνεῖ θεωρίας. ἐφ' ὅσον δὲ διατείνει ἡ θεωρία, καὶ ἡ εὐδαιμονία, καὶ οἷς μᾶλλον ὑπάρχει θεωρεῖν, καὶ εὐδαιμονεῖν, * ἢ κατὰ συμβεβηκός, ἀλλὰ καθ' αὑτὴν τῷ θεωρεῖν· αὐτὴ γὰρ καθ' αὑτὴν τιμία. ὥστ' εἴη ἂν ἡ εὐδαιμονία, θεωρία.

γρ. καὶ κατ.

ΚΕΦΑΛ. θ'.

Οτι καὶ τῆς ἐκτὸς εὐπραγίας δεῖσθαι τὸν εὐδαιμονήσοντι, ἀνθρώπῳ ὄντι.

ΔΕήσει δὲ καὶ τῆς ἐκτὸς εὐπραγίας, ἀνθρώπῳ ὄντι. οὐ γὰρ αὐταρκὴς ἡ φύσις πρὸς τὸ θεωρεῖν· ἀλλὰ δεῖ καὶ τὸ σῶμα ὑγιαίνειν, καὶ τροφῆς, καὶ τὴν λοιπὴν θεραπείαν ὑπάρχειν· ἂν μὲν οἰητέον γε πολλῶν καὶ μεγάλων δεήσεσθαι τὸν * εὐδαιμονήσοντα, εἰ μὴ ἐνδέχεται αὐτὸν ἄνευ τῶν ἐκτὸς ἀγαθῶν, μακάριον εἶναι· οὐ γὰρ ἐν τῇ ὑπερβολῇ τὸ αὐταρκες, * οὐδ' ἡ πρᾶξις,] οὐδ' ἡ πρᾶξις. δυνατὸν δὲ * καὶ μὴ ἄρχοντας γῆς καὶ θαλάττης πράττειν τὰ καλά· καὶ γὰρ ἀπὸ μετρίων δυνάμενος ἄν τις πράττειν * τὰ κατὰ τὴν ἀρετήν. τοῦτο δ' ἦν ἰδεῖν ἐναργῶς. οἱ γὰρ ἰδιῶται, τῶν δυναστῶν οὐχ ἧττον δοκοῦσι τὰ ἐπιεικῆ πράττειν,

γρ. κατὰ τὴν ἀρετήν, al. κατὰ τὰ ἀρετήν. κ. ἢ πρᾶξις al. κατὰ τ. ἀρ.

eadem ratione vtendum erit, quam habent inter se res ex quæ ab vnoquoque in medium allatæ sunt: eáque iniuria, quæ huic iuri opponitur, à proportione remota atque auersa est. Ius autem, quod in contractibus versatur, est illud quidem æquale quiddam: & iniuria, inæquale: verùm non illa proportione, sed arithmetica. Nihil enim refert, vtrùm vir bonus malum hominem fraudauerit, an malus homo virum bonum: neque vtrùm vir bonus, an malus homo adulterium fecerit: sed damni tantùm differentiam intuetur lex, iisque vtitur tanquam æqualibus, faciatne hic iniuriam, ille iniuria afficiatur: & an hic damnum intulerit, ille acceperit. Itaque hanc iniuriam, quæ inæqualis est, iudex exæquare conatur. Nam cùm hic percussus fuerit, ille percusserit, aut etiam occiderit, hic autem mortuus sit; perpessio & actio in parteis inæqualeis diuisa est: sed damno & multa conatur iudex exæquare, de lucro detrahens. Nam (vt semel & simpliciter dicam,) in talibus, etiamsi quibusdã nomen non cõueniat, lucrũ appellatur: verbi gratia, in eo qui percusserit: in eo qui percussus fuerit, damnũ. Sed cùm perpessionem mensus fuerit iudex, hoc damnum, illud lucrum nominatur. Itaque eorum quidem quæ sunt plus & minus, æquale est medium. Lucrum autem & damnum, illud quidem plus est, hoc autem minus, contrariè: boni plus, & minus mali, lucrum: contrarium, damnum: quorum medium, esse æquale, modò demonstrabamus, id quod ius esse dicimus. Erit id ius quod ad corrigendum & ad emendandum valet, damni & lucri medium. Itaque & cùm aliqua de re inter se ambigunt, ad iudicem confugiunt. Adire autem ad iudicem, adire ad ius est. Nihil enim videtur aliud esse iudex, quàm ius animatum. Quæruntque iudicem medium: & vocant eos nonnulli μεσδίους, id est, medium diuidenteis, seu medium adiudicanteis: perinde quasi facile futurum sit, vt ius suum obtineant, si medium consequantur. Ius ergo medium quiddam est, si quidem etiam iudex medius est. Ac iudex quidem exæquat, & velvti linea in duas parteis inæqualeis secta, quo maior pars dimidiam superat, hoc de illa detrahit, & ad partem minorem addit. Toto autem in duas parteis diuiso, tum se suum dicunt obtinere, cùm parteis æqualeis abstulerint. Est autem æquale, medium rei maioris & minoris, proportione arithmetica: propterque hanc adeò causam ius à Græcis δίκαιον appellatur, quia δίχα ἔσην. i. in duo æqualia diuisum est, perinde ac si quis dixerit δίκαιον: & δικαστὴς nominatus est, quasi δικαστὴς, quæ vox cum significaret, qui rem in duas partes æqualeis secat.

A ἴσης καὶ τὸν λόγον τὸν αὐτὸν ὄνπερ ἔχουσι πρὸς ἄλληλα τὰ εἰσενεχθέντα· καὶ τὸ ἄδικον τὸ ἀνόμοιον τοῦ δικαίῳ τούτῳ, τὸ πρῶτον τὸ ἀνάλογον ἐστί. τὸ δ' ἐν τοῖς συναλλάγμασι δίκαιον, ἔστι μὲν ἴσόν τι, καὶ τὸ ἄδικον ἄνισον, ἀλλ' οὐ κατὰ τὴν ἀναλογίαν ἐκείνην, ἀλλὰ κατὰ τὴν ἀριθμητικήν· οὐδὲν γὰρ διαφέρει, εἰ ὁ σπουδαῖος φαῦλον ἀπεστέρησεν, ἢ φαῦλος σπουδαῖον ἠδί, εἰ ἐμοίχευσεν ὁ σπουδαῖος ἢ φαῦλος, ἀλλὰ πρὸς τὴν τῶν βλάβους διαφορὰν βλέπει μόνον ὁ νόμος, καὶ χρῆται ὡς ἴσοις, εἰ ὁ μὲν ἀδικεῖ, ὁ δ' ἀδικεῖται, καὶ εἰ ὁ μὲν ἔβλαψεν, ὁ δὲ βέβλαπται· ὥστε τὸ ἄδικον τοῦτο ἄνισον ὄν, ἰσάζειν πειρᾶται ὁ δικαστής. καὶ γὰρ ὅταν ὁ μὲν πληγῇ, ὁ δ' παίσῃ ἢ καὶ κτείνῃ, ὁ δ' ἀποθάνῃ, διῄρηται τὸ πάθος καὶ εἰς πρᾶξις εἰς ἄνισα, ἀλλὰ πειρᾶται τῇ ζημίᾳ ἰσάζειν, ἀφαιρῶν τοῦ κέρδους. λέγεται γὰρ ὡς ἁπλῶς εἰπεῖν ὅτι τοῖς τοιούτοις, κἂν εἰ μή τισιν οἰκεῖον ὄνομα ᾖ, τὸ κέρδος, οἷον τῷ παίσαντι· καὶ εἰ ζημία, τῷ παθόντι· ἀλλ' ὅταν γε μετρηθῇ τὸ πάθος, καλεῖται τὸ μὲν ζημία, τὸ δὲ κέρδος. ὥστε τοῦ μὲν πλείονος καὶ ἐλάττονος τὸ ἴσον μέσον· τὸ δὲ κέρδος καὶ εἰ ζημία, τὸ μὲν πλέον, τὸ δὲ ἔλαττον ἐναντίως· τὸ μὲν τοῦ ἀγαθοῦ πλέον, τὸ, τε τοῦ κακοῦ ἔλαττον, κέρδος· τὸ δ' ἐναντίον, ζημία· ὧν εἰ μέσον τὸ ἴσον, ὃ λέγομεν εἶναι δίκαιον· ὥστε τὸ ἐπανορθωτικὸν δίκαιον ἂν εἴη τὸ μέσον ζημίας καὶ κέρδους. διὸ καὶ ὅταν ἀμφισβητῶσιν, ἐπὶ τὸν δικαστὴν καταφεύγουσι. τὸ δ' ἐπὶ τὸν δικαστὴν ἰέναι, τὸ ἰέναι ἐστὶν ἐπὶ τὸ δίκαιον. ὁ γὰρ δικαστὴς βούλεται εἶναι οἷός δίκαιον ἔμψυχον, καὶ ζητοῦσι δικαστὴν μέσον, καί καλοῦσιν ἔνιοι, * μεσοδίκους· ὡς ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι. μέσον γάρ, εἴπερ καὶ ὁ δικαστής. ὁ δὲ δικαστὴς ἐπανορθωτής, καὶ ὥσπερ γραμμῆς εἰς ἄνισα τετμημένης, ᾧ τὸ μεῖζον τμῆμα τῆς ἡμισείας ὑπερέχει, * τοῦτ' ἀφῄρηται καὶ τῷ ἐλάττονι τμήματι. ὅταν ᾖ διῃρεθῇ τὸ ὅλον δίχα, τότε φασὶν ἔχειν τὸ αὐτό, τμήματι ὅταν λάβωσι τὸ ἴσον. τὸ δ' ἴσον μέσον ἐστὶ τῆς μείζονος καὶ ἐλάττονος κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. διὰ τοῦτο καὶ ὀνομάζεται δίκαιον ὅτι δίχα ἐστίν· ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον, καὶ ὁ δικαστὴς, διχαστής. ἐπὶ τὸ

N. μεσοδίους

N. τοῦτ' ἀφῄρηται καὶ τῷ ἐλάττονι τμήματι.

γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου, καὶ εἰς θάτερον ὁ προστεθῇ, δυσὶ τούτων ὑπερέ- A
χει ὁ θάτερον. εἰ γὰρ ἀφῃρέθη μόνον, μὴ προστεθέντος δὲ, ἑνὶ μόνον ὑπερέχοι * τοῦ Vide N.
μέσου, ἑνὶ γὰρ ὁ μέσον ἀφ' οὗ ἀφῃρέθη. ἑνὶ τούτῳ ἄρα γνωσθήσεται, τί τε ἀφελὸν δεῖ ἀπὸ τοῦ πλέον ἔχοντος, καὶ τί προσθεῖναι τῷ ἔλαττον ἔχοντι. ᾧ μὲν γὰρ ὁ μέσον ὑπερέχει, ἀφελὸν ἀπὸ τοῦ μέσου. ἴσαι αἱ ἐφ' ὧν αα, ββ, γγ, ἀλλήλαις. ἀπὸ τῆς αα * ἀφῃρήσθω ὁ αε, καὶ προσκείσθω τῇ γγ ὁ ἐφ' ὧν γδ· ὥστε ὅλη ἡ δγγ * τῆς εα ὑπερέχει τῇ γδ, καὶ τῇ βζ τῆς ἄρα ββ, τῇ γδ. N. ἀφῃρῆσθω, & προσκείσθω γρ. τῆς αε.

α ε α
β β
γ ζ γ δ

ἔστι δὲ τοῦτο ☾ ὅπι τῶν ἄλλων τεχνῶν. ἀναιρεθήσεται γὰρ, εἰ μὴ ἐποίησε τοιοῦτον καὶ ὅσον ☾ οἷόν τε, ☾ ὁ πάσχων ἔπαθε τοῦτο, καὶ τοσοῦτον καὶ τοιοῦτον. ἐλήλυθε δὲ τὰ ὀνόματα ταῦτα ἥ τε ζημία καὶ ὁ κέρδος ἐκ τῆς ἐκουσίου ἀλλαγῆς. ὁ μὲν γὰρ πλέον ἔχειν ἢ τὰ αὑτοῦ, κερδαίνειν λέγεται· ὁ δὲ ἔλαττον τῶν ἐξ ἀρχῆς, ζημιοῦσθαι· * οἷόν τε γὰρ ὠνεῖσθαι καὶ πωλεῖν, καὶ ἐν οἷς ἄλλοις δέδωκεν ὁ νόμος. ὅταν δὲ μήτε πλέον μήτε ἔλαττον, ἀλλ' αὐτὰ δι' αὐτῶν γίνηται, τὰ αὐτὰ φασιν ἔχειν, καὶ οὔτε ζημιοῦσθαι οὔτε κερδαίνειν. ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον ὁ δίκαιόν ἐστι, τῷ τοιοῦτο ὁ ἑκούσιον τὸ ἴσον ἔχειν καὶ πρότερον καὶ ὕστερον. N. οἷόν τε τῷ πωλεῖν καὶ ὠνεῖσθαι, καὶ ἐν οἷς ἄλλοις ἄδειαν ἔδωκεν ὁ νόμος. γρ. βούλ. ἔχειν· καὶ ποτὲ * βούλονται γε τοῦτο λέγειν καὶ λέγει τὸν Ῥαδαμάνθυος δίκαιον. τὸ Ρ.

Εἴκε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.

πολλαχοῦ γὰρ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων

A Nam si cùm duæ res sint æquales, id quod ab vna fuerit detractum, addatur alteri: his duobus hæc illam superabit. Si enim detractum quidem vni rei fuisset, non autem etiam alteri additum, vno duntaxat altera alteram superaret. Mediam igitur ea res cui accessit aliquid, vno superat: & media eam cui quippiam detractum est, vno. Ex hoc itaque cognoscemus & quid ei qui plus habet, detrahendum sit: & quid ei qui minùs, addendum. Nam quo res media minorem superat, id ei quæ minus habet, addendum est: quo media superatur, id

B maximæ detrahendum. Sint tres lineæ, AA, BB. CC, inter se æquales, Lineę, AA, detracta sit pars AE, addatúrque ad lineam CC, sítque ea pars, CD. Ita tota linea DCC. lineam EA, superabit linea CD, & linea CF. Ergo & lineam BB, linea CD.

A E A
B B
C F C D

Hoc autem ineſt etiam in alijs artibus. Tollerentur enim, & conciderent, nisi quantum &

C quale id, quod efficiendi vim habet; efficit, tantundem & tale perpetereturid quod patitur. Nata autem & translata sunt hæc nomina, damnum & lucrum, ab eo contractu qui sponte initur. Nam plus suo obtinere, lucrum facere appellatur: minus autem quàm quod initio suppetebat, habere, damno affici: vt fit in rebus vendendis & emendis, aliisque contractibus, in quibus per legem licet impunè suis rationibus consulere, lucrumque facere. Vbi verò neque plus neque minus habent, sed paria paribus respondent, tunc se sua dicunt habere,

D & neque damnum accepisse, neque quicquam lucri fecisse. Itaque lucri cuiusdam & damni, quæ non sponte, sed præter voluntatem obuenerint, medium, ius est: vt tantundem vterque eorum qui contrahunt, habeat posterius, quantum prius habuit.

ΚΕΦΑΛ. γ'.

CAPVT III.

Περὶ τοῦ ἀντιπάσχειν καὶ ἀντιποιεῖν, καὶ νομίσματος καὶ ὀφειλῆς.

De iure talionis & de pecuniæ vsu.

Δοκεῖ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς ἁπλῶς εἶναι δίκαιον, ὥσπερ οἱ Πυθαγόρειοί φασιν. ὡρίζοντο γὰρ ἁπλῶς τὸ δίκαιον τὸ ἀντιπεπονθὸς ἄλλῳ. τὸ δ' ἀντιπεπονθὸς, οὐκ ἐφαρμόττει, οὔτ' ὅπι τὸ διανεμητικὸν δίκαιον, οὔτ' ὅπι τὸ διορθω- γρ. βούλ. ητικόν· καὶ ποτὲ * βούλονται γε τοῦτο λέγειν καὶ λέγει τὸν Ῥαδαμάνθυος δίκαιον. τὸ Ρ.

E Videtur autem quibusdam Talio quoque, id est, reciproca quædam perpessio, ius esse simpliciter, & absolutè, quemadmodum Pythagorei dixerunt. Definiebant enim ius absolutè, id quod quis à se factum, vicissim ab altero pateretur. id est, talionem seu mutuam perpessionem. Ius talionis porrò neque ad id ius quod in distributione bonorum versatur, neque ad id quod ad emendationem factorum valet, accommodari potest. qui etiam ius Rhadamanthi hoc fuisse videntur significare,

Si quis, quod fecit, patiatur, ius erit æquum.

Multis. n. locis à iure dissidet ac discrepat:

veluti, si quis magistratum gerens, aliquem A pulsauerit, non est referiendus: & si quis eum, qui magistratum gerat, pulsauerit, non modò verberandus, sed etiam castigandus est. Præterea permultum interest inter id quod sponte nostra, & id quod inuitè facimus. sed in communitatibus rerum contrahendarum ac permutandarum, sanè tale ius, quod reciprocam perpessionem seu talionem nominant, proportione non æqualitate ciuilem societatem continet. Factis enim proportione recitprocis, manet coniunctio ciuitatis. Aut enim malum acceptum reponere conantur, (quod si non liceat, seruitus esse videtur, iniuriam B referre non posse,) aut ei qui bene meritus sit, referre gratiam volunt: quod si non fiat, sublata est rerum communicatio, & officiorum quasi mutuatio. At rerum communicatione officiorumque mutuatione, societas & coniunctio ciuium manet. Itaque & Gratiarum templum in propatulo vrbis loco constituitur, vt sit remuneratio. Hoc enim gratiæ proprium est. Nam ei, qui beneficium dederit, referendum beneficium est: & is rursus alterum beneficio prouocare debet. Facit autem remunerationẽ proportione constantẽ ea quæ medijs trãsuersis lineis fit, cõiugatio. Exẽpli causa, sit ædificiorũ opifex A, sutor B, domus C, calceus D.

A. *Aedificiorum opifex* B. *Sutor*
C. *Domus* D. *Calceus.*

Ædificiorum opificem igitur oportet à sutore opus illius sumere, eique vicissim suum impertiri. Ergo si primùm æqualitas sit ea quæ proportione constat, deinde reciproca perpessio seu talio fiat, (id est, tantundẽ accipiatur, quãtum datũ sit,) extabit id, quod à nobis dicitur: sin minus, neque erit æqualitas, neq; manebit societas. Nihil enim prohibet quominus vnius opus alterius opere sit præstabilius. Hæc igitur exæquata sint, oportet. Quod idem fit in alijs artibus. Tollantur enim funditus, & concidãt, nisi & quãtum & quale id quod efficiendi vim habet, efficit, tantumdẽ & tale accipiat id quod patitur. Non enim ex duobus medicis societas constare potest, sed ex medico & agricola, & omnino ex diuersis & dissimilibus atque inæqualibus, quos tamen oportet exæquari. Quapropter quarum rerum fit permutatio, eas res oportet esse eiusmodi, vt inter se quodãmodo comparari possint. Atque ad hanc rem, nũmus quæsitus & cõparatus est, qui omnium rerum quodãmodo sit medius, seu mẽsura. Nam res omneis metitur: quare & nimium & parũ metitur. Quot igitur calcei, domui vel alimento sunt æquales. Oportet ergo, quã proportionẽ & cõparationẽ habet ædificandi artifex ad sutorem, tot numero calceos cum domo aut alimẽto cõparari. Nã si hoc nõ ita fiet, neq; erit permutatio, neq; cõmunitas. Nõ poterũt autẽ comparari, nisi quodãmodo sint æqualia. Ergo quemadmodũ suptà dixi, vnũ quiddã esse oportet, quod cętera omnia metiatur. Hoc autẽ

ἐπάταξεν, οὐ δεῖ ἀντιπληγῶαι· καὶ εἰ δέχοντα ἐπάταξεν, οὐ πληγῶν μόνον δϛ, ἀλλὰ καὶ κολασθῶαι. ἔτι, τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον διαφέρει πολύ. ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς ἀλλακτικαῖς συνέχει τὸ τοιοῦτο δίκαιον τὸ ἀντιπεπονθὸς, κατ' ἀναλογίαν, καὶ μὴ κατ' ἰσότητα· τῷ γὰρ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις· ἢ γὰρ τὸ κακῶς ζητοῦσιν, (εἰ δὲ μή, δουλεία δοκεῖ εἶ), εἰ μὴ ἀντιποιήσῃ, ἢ τὸ ἀν· εἰ δὲ μή, μετάδοσις γὰρ· τῇ μεταδόσῃ δὲ συμμένουσι. διὸ καὶ Χαρίτων ἱερὸν ἐμποδὼν ποιοῦνται, ἵνα ἡ ἀνταπόδοσις ᾖ· τοῦτο γὰρ χάριτος ἴδιον· ἀνθυπηρετῆσαι γὰρ δεῖ τῷ χαρισαμένῳ, καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον. ποιεῖ δὲ τὴν ἀντίδοσιν τὴν κατ' ἀναλογίαν, ἡ κτὶ Δῖ ἡμέτερον σύζυξις. οἷ, οἰκοδόμος ἐφ' ᾧ α, σκυτοτόμος ἐφ' ᾧ β, οἰκία ἐφ' ᾧ γ, ὑπόδημα ἐφ' ᾧ δ.

α	β
οἰκοδόμος	σκυτοτόμος.
γ	δ
οἰκία	ὑπόδημα.

δεῖ οὖν λαμβάνειν τὸν οἰκοδόμον παρὰ τοῦ σκυτοτόμου τὸ ἐκείνου ἔργον, καὶ αὐτὸν ἐκείνῳ μεταδιδόναι τοῦ αὑτοῦ. ἐὰν οὖν τοσοῦτον ᾖ τὸ ἀντιπεπονθὸς γένηται, ἔσται τὸ ἀντιπεπονθὸς ἡμῖν, ἔσαι τὸ λεγόμενον· εἰ δ' ὁτὲ μὲν, οὐκ ἴσον, οὐδὲ συμμένει· οὐδὲν γὰρ κωλύει χρῆσθαι τὸ ἑτέρου ἔργον, ἢ τὸ ἑτέρου. δεῖ οὖν δὴ ταῦτα ἰσασθῆναι. ἔστι δὲ τοῦτο καὶ ὑπὲρ τῶν ἄλλων τεχνῶν· ἀπήργωτο γὰρ ἄν, εἰ μὴ ἐποίει τὸ ποιοῦν, ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦτον, καὶ τοιοῦτον· οὐ γὰρ ἂν δύοιατρῶν γένοιτο κοινωνία, ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ, καὶ ὅλως ἑτέρων καὶ οὐκ ἴσων· ἀλλὰ τούτοις δεῖ ἰσασθῆναι. διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἔστιν ἀλλαγή, ἐφ' ὃ τὸ νόμισμα ἐλήλυθε, καὶ γίνεταί πως μέσον· πάντα γὰρ μετρεῖ· ὥστε καὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν· πόσα ἄττα δὴ ὑποδήματα ἴσον οἰκίᾳ, ἢ ἔφῃ. δεῖ τοίνυν ὅπερ ὁ οἰκοδόμος πρὸς σκυτοτόμον, τοσαδὶ ὑποδήματα πρὸς οἰκίαν, ἢ ἔφλω. εἰ γὰρ μὴ τοῦτο, οὐκ ἔσαι ἀλλαγὴ, οὐδὲ κοινωνία. τοῦτο δ', εἰ μὴ ἴσα εἴη πως, οὐκ ἔσαι. δεῖ ἄρα ἑνί τινι πάντα μετρεῖσθαι, ὥσπερ ἐλέχθη πρότερον. τοῦτο δ' ἐστὶ, τῇ

μὴ ἀληθείᾳ δὲ χρεία, ἢ πάντα σωέχει· εἰ γὰρ μηδὲν δέοιντο, ἢ μὴ ὁμοίως, ἢ οὐκ ἔσται ἀλλαγή, ἢ οὐχ ἡ αὐτή· οἷς δ' ὑπάλλαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην· καὶ διὰ τοῦτο νόμισμα ἔχει νόμισμα, ὅτι οὐ φύσει, ἀλλὰ νόμῳ ἐστὶ, καὶ ἐφ' ἡμῖν μεταβαλεῖν καὶ ποιῆσαι ἄχρηστον. ἔσται δὴ αὐτὴ πεποιθὸς, ὅταν ἰσασθῇ. ὥστε ὅσῳ γεωργὸς πρὸς σκυτοτόμον, τοσοῦτον τοῦ σκυτοτόμου πρὸς τὸν γεωργόν. εἰς σχῆμα δ' οὕτω δεῖ ἄγειν ἀναλογίας, ὅταν ἀλλάξωνται· εἰ δὲ μή, ἀμφοτέρως ἔξει τὰς ὑπερβολὰς τὸ ἕτερον ἄκρον. ἀλλ' ὅταν ἔχωσι τὰ αὑτῶν, οὕτως ἴσοι καὶ κοινωνοί· ὅτι αὐτὴν ἡ ἰσότης δύναται ἐπ' αὐτῶν γίνεσθαι. γεωργὸς α, ἐφὴ γ, σκυτοτόμος β, τὸ ἔργον αὐτοῦ τὸ ἰσασμένον δ.

α	β
γεωργὸς	σκυτοτόμος.
γ.	δ.
ἐφὴ	σκυτοτόμου ἔργον τῇ ἐφῇ ἰσασμένον.

εἰ δ' ὅτῳ μὴ ἔστω ἀντιπεπονθέναι, οὐκ ἂν εἴη κοινωνία. ὅτι δ' ἡ χρεία συνέχει ὥσπερ ἕν τι ὄν, δηλοῖ, ὅτι ὅταν μὴ ὦσι χρείᾳ ὧσιν ἀλλήλων, ἢ ἀμφότεροι, * ἢ ἀτερος, οὐκ ἀλλάττονται, ὥσπερ * ὅταν οὗ ἔχει αὐτὸς, δέηται ἕτερος, οἷς οἴνου, διδόντες σίτου ἐξάγωσιν. δεῖ ἄρα τοῦτο ἰσασθῆναι. ὑπὲρ δὲ τῆς μελλούσης ἀλλαγῆς, εἰ νῦν μηδὲν δέοιτο, ὅτι ἔσται, * ἐὰν δεηθῇ, τὸ νόμισμα οἷς ἐγγυητής ἐστιν ἡμῖν· δεῖ γὰρ τοῦτο φέροντι, εἰ λάβοι· πάντα μὲν οὕτω καὶ τοῦτο τὸ αὐτό. οὐ γὰρ ἀεὶ ἴσον δύναται. ὅμως δὲ βούλεται μένειν μᾶλλον· διὸ δεῖ πάντα τετιμῆσθαι. οὕτω γὰρ ἔσται ἀεὶ ἀλλαγή· εἰ δὲ τοῦτο, κοινωνία· τὸ δὲ νόμισμα, ὥσπερ * μέτρον σύμμετρα ποιῆσαν, ἰσάζει· οὔτε γὰρ ἂν μὴ οὔσης ἀλλαγῆς, κοινωνία ἦν· οὔτ' ἀλλαγὴ, ἰσότητος μὴ οὔσης· οὔτ' ἰσότης, μὴ οὔσης συμμετρίας. τῇ μὲν οὖν ἀληθείᾳ, ἀδύνατον τὰ τοσοῦτον διαφέροντα, σύμμετρα γενέσθαι· πρὸς δὲ τὴν χρείαν, ἐνδέχεται ἱκανῶς· ἓν δή τι δεῖ εἶναι. τοῦτο δὲ ἐξ ὑποθέσεως· διὸ νόμισμα καλεῖται· τοῦτο γὰρ πάντα ποιεῖ σύμμετρα· μετρεῖται γὰρ πάντα νομίσματι· οἰκία. ἐφ' ἧς α, μναῖ δέκα β, κλίνη γ, τὸ δὴ α τοῦ β ἥμισυ

γρ. ἢ ἕτερ. γρ. ὅταν οὐ ἔχῃ αὐτὸς, ἢ δέηται, οἷς οἴνου δόντες, σίτου ἐξαγωγῆς. γρ. ὅτι αὐ δ.

μέσον

A quidã re vera vsus, seu indigentia est, quæ omnia continet. Nam si nulla re egerent homines, aut si nõ similiter egerent: vel nulla vel nõ cadẽ esset permutatio. Sed in indigentiæ locum ex hominum quasi compacto & conuento quodammodo successit nũmus: atque ob hãc causam, νόμισμα vocatur à Græcis, ἀπὸ τοῦ νόμου, id est, à lege: quia non natura, sed lege valeat, sítque in nobis situm eum immutare, inutilémq; reddere. Erit igitur tum perpessio mutua & reciproca, cùm res fuerint exæquatæ. Itaq; quam rationem obtinet agricola ad sutorẽ, eandem rationem habere debet sutoris opus ad opus agricolæ. Sunt autem tum in figuram proportionis deducẽdi, cùm permutaturi sunt. Quod si non fiet, alterum extremum vtramque exuperantiam habebit. Verumtamen cùm suas res habent, ita sunt æquales inter se, ac socij, quia hæc æqualitas in eis effici potest. Agricola A, alimentum C, sutor B, opus sutoris exæquatum cum alimento D.

A. *Agricola* B. *Sutor.*
C. *Alimentum* D. *Opus sutoris cum alimento exæquatum.*

Quòd si hoc modo non liceret vicissim perpeti, seu accipere, nulla societas esset, nulla communitas. Indigentia autem societatem hominum contineri, tanquam vno quodam, quod vinculi instar sit, ex eo perspici potest, quòd vbi aut neuter eget re alterius, aut alter eorum non eget, permutatio inter eos contrahi non solet; quemadmodũ cùm eius quod quis habet, alter indiget, vtputa vini, exportandi frumenti sit potestas. Hoc igitur oportet exæquatũ esse. In permutationẽ futurã autẽ, si fortè re aliqua nunc non egeamus, tunc eius nobis facultatẽ & copiã fore cũ egebimus, velvti spõsor numus intercedit. Oportet enim vnicuiq; eàm rẽ, qua egeat, accipere licere, vbi numũ attulerit. Sed idẽ numo quoq; interdũ accidit: non enim sẽper æqualẽ vim habet. Verũtamẽ immutabilior ac stabilior permanere solet. Itaq; debẽt esse res omnes æstimatæ. Sic enim rerùm permutatio semper futura est. Quod si erit permutatio, erit & societas. Numus igitur posteaquam velut mensura, res apta quadam compositione & cõuenientia concordeis inter se & consentienteis reddidit, eas exæquat. Nã neq; si nõ fuisset permutatio, societas cõstare potuisset: neq; sine æqualitate, permutationi locus vnquã fuisset: neq; sine apta quadã rerũ cõpositione & cõueniẽtia, æqualitati. Res igitur inter se tã dissimiles ac dispares, si verũ quærimus, nulla cõmuni mẽsura inter se cõuenire, nec cohærere possunt: sed quòd ad vtilitatẽ indigẽtiãq; attinet, satis cõmodè possũt. Quare vnũ quiddã extare necesse est, idq; hominũ instituto, & ex cõditione. Quapropter νόμισμα appellatur. Numus enim res inter se dispares, apta quadã cõpositione & cõuenientia cõcordeis efficit. Nihil est enim quod nõ meciatur numus. Sit domus A, minæ decem B, lectus C. A igitur dimidium B fuerit, si domus

quinque minarum sit, aut tanti, quanti quinque minæ sunt: c. autem lectus, ipsius b decima pars intelligatur. Perspicuũ igitur est, quot lecti domui sint æquales, nempe quinque. Sic autem rerum permutationem fieri solitam esse ante numi vsum, non est obscurum. Nihil enim interest vtrùm lecti quinq;, an quod tanti sit, quanti lecti quinq;, pro domo detur. Quid igitur sit iniuria, quid ius, & quã rationẽ talio seu reciproca perpessio ad ius habeat, suprà explicatũ est. His autem distinctis, perspicuum est, iustam actionem inter id quod est facere & accipere iniuriam, mediam esse. illud enim plus obtinere est, hoc minus. Iustitia porrò mediocritas est, non quomodo virtutes superiores: sed quia medij est, iniustitia autem extremorum. Præterea iustitia, virtus est, qua homo iustus, aptus dicitur, tum ad agendum consultò id quod iustum est, tum ad ius tribuendum & sibi, si cum altero contrahat, & alteri cum altero contrahenti, non ita, vt sibi plus eius quod optabile est, minus alteri: & contrà sibi minus damni, plus alteri: sed sibi & alijs id quod æquum proportione est, tribuat: itémque erga alium obseruet cum alio comparatum siue contrahentem. Contrà iniustitia vitium est, quo ad id quod iniustum est, consultò agendũ, nobisque & alijs tribuendum, apti sumus. Hoc autem est nimium & parum commodi aut incommodi, à proportione alienum ac disiunctum. Itaque iniustitia est nimium & parum, quia est & eius quod nimium est, & eius quod parum: cùm quis in sua quidem causa nimium rei absolutè vtilis sibi tribuit, inutilis & damnosæ parum. In aliorum autem negotio generaliter ad eundem modum se gerit: sed quod ad id iniquum, quod à proportione remotum est, attinet, vtrocumque modo casus tulerit. Iniustè facti autem cùm duo sint extrema, minus extremum iniuriam accipere est, maius autem iniustè facere. De iustitia igitur & iniustitia, quænam sit vtriusque natura, hoc modo dictum sit: itémque de iusto & iniusto vniuersim.

A σν, εἰ πέντε μνῶν ἀξία, ἢ ἴσον· ἡ δὲ κλίνη ἢ δέκατον μέρος τὸ γ, τῦ β. δῆλον τοίνυν πόσας κλίνας ἴσον οἰκία, ὅτι πέντε. ὅτι δ' οὕτως ἡ ἀλλαγὴ ἰῶ, περὶ ὃ νόμισμα ἦν, δῆλον· διαφέρει γὰρ οὐδέν, ἢ εἰ κλίνας πέντε αὐτὴ οἰκίας, ἢ ὅσου αἱ πέντε κλῖναι. τί μὲν οὖν ὃ ἄδικον, καὶ τί ὃ δίκαιόν ἐστιν, εἴρηται. διωρισμένων δὲ τούτων, δῆλον ὅτι ἡ δικαιοπραγία μέσον ἐστὶ τῦ ἀδικεῖν, καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ, πλέον ἔχειν· τὸ δ' ἔλαττόν ἐστιν·

B ἡ δὲ δικαιοσύνη, * μεσότης ἐστὶν, οὐ τὸν αὐτὸν τρόπον ταῖς ἄλλαις ἀρεταῖς, ἀλλ' ὅτι μέσου ἐστίν· ἡ δ' ἀδικία, τοῖς ἄκροις. καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται προαιρετικὸς κατὰ προαίρεσιν τῦ δικαίου, καὶ διανεμητικὸς καὶ αὐτὸς πρὸς ἄλλον, καὶ ἑτέρῳ πρὸς ἕτερον· οὐχ οὕτως, ὥστε τὸ μὲν ἀρετῦ, πλέον αὐτῷ· ἔλαττον δὲ, τῷ πλησίον· τὸ βλαβερὸν δ', ἀνάπαλιν· ἀλλὰ τὸ ἴσον κατ' ἀναλογίαν· ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον· ἡ δ' ἀδικία τοιοῦτον τῦ ἀδίκου. τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις τῦ ὠφελίμου ἢ βλαβεροῦ πρὸς ὃ ἀνάλογον· ἔστι δὲ ὑπερβολὴ μὲν καὶ ἔλλειψις ἡ ἀδικία, ὅτι ὑπερβολῆς καὶ ἐλλείψεώς ἐστιν· ἐφ' αὑτῦ μὲν ὑπερβολῆς τῦ ἁπλῶς ὠφελίμου· ἐλλείψεως δὲ, τῦ βλαβεροῦ. ὅπερ δὲ τῷ ἄλλων, ὃ μὲν ὅλον, ὁμοίως· ὃ δ' ὑπὲρ ὃ ἀνάλογον, ὁποτέρως ἔτυχε· τῦ δὲ ἀδικήματος, ὃ μὲν ἔλαττον, ὃ ἀδικεῖσθαί ἐστι· ὃ δὲ μεῖζον, ὃ ἀδικεῖν. περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρας ἐστὶν ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον· ὁμοίως δὲ καὶ περὶ δικαίου καὶ ἀδίκου καθόλου.

γρ. μεσότης ἐστὶ, οὐ τὸν αὐτὸν δὲ τρόπον ταῖς ἄλλαις ἀρεταῖς.

C D E

CAPVT IV.

De iniustè factis, & varijs iuris generibus.

ΚΕΦΑΛ. δ.

Περὶ ἀδικημάτων, καὶ δικαίου πολιτικοῦ, καὶ δεσποτικοῦ, καὶ πατρικοῦ καὶ οἰκονομικοῦ.

SEd quoniam fieri potest vt is qui iniustè facit, nondum tamen sit iniustus; quibusnam iniustè factis iam iniustus est in vnoquoque iniustitiæ genere? An vt fur, aut adulter, aut latro? An sic nihil interierit? Namque fieri potest vt quis cum a iqua muliere rem habeat, sibi notâ quidẽ illa, verumtamẽ non consultò,

ΕΠΕΙ δ' ἔστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι, ὁποῖα ἀδικήματα ἀδικοῦντες ἤδη ἄδικός ἐστιν ἑκάστων ἀδικίαν, οἷον κλέπτης, ἢ μοιχὸς, * ἢ λῃστής·] ἢ οὕτω μὲν οὐδέν ἐστιν ἴδιον· καὶ γὰρ ἂν συγγένοιτο γυναικὶ, εἰδὼς ὅ ἐστιν· ἀλλ' οὐ διὰ προαίρεσιν ἀρ-

χλὼ, ἀλλὰ διὰ πάθος. ἀδικεῖ μὲν οὖν, ἄδικος δ' οὐκ ἔστιν· οὐδὲ κλέπτης, ἔκλεψε δὲ· οὐδὲ μοιχὸς, ἐμοίχευσε δὲ· ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῶν ἄλλων. πῶς μὲν οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον, εἴρηται πρότερον. δεῖ δὲ μὴ λανθάνειν, ὅτι τὸ ζητούμενόν * ἐστι καὶ τὸ ἁπλῶς δίκαιον, καὶ τὸ πολιτικὸν δίκαιον. τοῦτο δέ ἐστιν ὅτὰν κοινωνῶσιν βίου πρὸς τὸ εἶ) αὐτάρκειας, ἐλεύθερων ἢ ἴσων, ἢ κατ' ἀναλογίαν, ἢ κατ' ἀριθμόν· ὥστε ὅσοις μὴ ἔστι τοῦτο, οὐκ ἔστι τούτοις πρὸς ἀλλήλους τὸ πολιτικὸν δίκαιον, ἀλλά τι δίκαιον ᾗ καθ' ὁμοιότητα· ἔστι γὰρ δίκαιον, οἷς καὶ νόμος πρὸς αὐτούς· νόμος δ', οἷς ἀδικία· ἡ γὰρ δίκη, κρίσις τοῦ δικαίου καὶ τοῦ ἀδίκου· οἷς δ' ἀδικία, καὶ τὸ ἀδικεῖν οἷς τούτοις· οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία· τοῦτο δ' ἔστι, τὸ πλέον αὑτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν· ἔλαττον ἢ, τῶν ἁπλῶς κακῶν. διὸ οὐκ ἐᾷ μὲν ἄρχειν ἄνθρωπον, ἀλλὰ τὸν λόγον· ὅτι ἑαυτῷ τοῦτο ποιεῖ, καὶ γίνεται τύραννος. ἔστι δ' ὁ ἄρχων, φύλαξ τοῦ δικαίου. * εἰ δὲ τοῦ δικαίου,] καὶ τοῦ ἴσου. ἐπεὶ δ' ὅπερ αὐτῷ πλέον εἶ) δοκεῖ, εἴωθε δίκαιος· οὐ γὰρ νέμει πλέον τὸ ἁπλῶς ἀγαθὸν αὑτῷ, εἰ μὴ πρὸς αὐτὸν ἀναλογόν ἐστι· διὸ ἑτέρῳ * ποιεῖ· καὶ διὰ τοῦτο ἄπονόν εἶ) φασιν ἀγαθὸν τὴν δικαιοσύνην, καθάπερ ἐλέχθη καὶ πρότερον. μισθὸς ᾧ ἄρα δοτέος. τοῦτο δὲ, τιμὴ καὶ γέρας· * ὅσοις δ' μὴ ἱκανὰ τὰ τοιαῦτα, γίνονται τύραννοι. τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ πατρικὸν, * οὐ ταὐτὸ τούτοις, ἀλλ' ὅμοιον· οὐ γάρ ἐστιν ἀδικία πρὸς τὰ αὐτῶν ἁπλῶς. τὸ δὲ κτῆμα καὶ τὸ τέκνον, ἕως ἂν ᾖ πολίκνον, καὶ * μὴ χωρισθῇ, ὡσαύτως μέρος αὐτοῦ. αὐτὸν δ' οὐδεὶς προαιρεῖται βλάπτειν. διὸ οὐκ ἔστιν ἀδικία πρὸς αὐτόν. οὐδ' ἄρα ἄδικον οὐδὲ δίκαιον τὸ πολιτικόν· κατὰ νόμον γὰρ ἦν, καὶ οἷς ἐπιφύκει εἶ) νόμος· οὗτοι δ' ἦσαν οἷς ἐστὶν ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι. διὸ μᾶλλον πρὸς γυναῖκά ἐστι δίκαιον, ἢ πρὸς τέκνα καὶ κτήματα· τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον. * ἕτερον δέ ἐστι καὶ τοῦτο τοῦ πολιτικοῦ.

γρ. ἔστιν ὅτὰν ἁπλῶς δίκαιον, καὶ τὸ πολ. δίκαιον. ἀλλά τι δίκαιον, καὶ καθ' ὁμ. reliquis omnibus omissis.

omittit q. c.

γρ. ποιεῖ.

γρ. οὐ ταὐτὸν τ.

μὴ omittit q. c.

γρ. ἕτερον δὲ τοῦτο τὸ πολιτικοῦ δικαίου. τὸ μὲν γὰρ φυσικόν ἐστι, τὸ δὲ νόμιμον.

A sed perturbatione & libidine inflammatus. Facit igitur hic quidem iniustè, sed non idcirco iniustus est. Quemadmodum nec fur, etiam si furatus sit: nec adulter, etiamsi adulterium commiserit: itemque in cæteris. Quomodo igitur affecta sit reciproca perpessio seu talio ad ius, dictum est antea. Sed sciendum est, ius id quod quærimus, & simpliciter ius esse, & ius ciuile. Est autem inter eos qui communitate & societate vitæ inter se coniuncti sunt, homines liberos & æqualeis, vel proportione, vel numero, vt rerum ad vitam degendam necessariarum copijs per se abundent, nihilque foris requirant. Itaque quibus hoc non est, eis inter ipsos non est ius ciuile, sed ius quoddam, & ex illius similitudine sic appellatum. Communi enim iure vtuntur ij quibus & lex inter ipsos communis est. Lex autem eorum communis est, quorum & iniustitia est. Iudicium enim, iuris & iniuriæ disceptatio est. Inter quos autem iniustitia locum habet, inter hos & iniuriæ faciendæ locus esse potest. Quibus autem inter ipsos iniuriæ faciendæ locus est, non continuò in ijs omnibus iniustitia reperitur. Est autem iniuriam facere, eorum quæ absolutè bona sunt, sibi plus tribuere: minúsque eorum quæ absolutè mala. Itaque hominem non sinimus imperare, sed legem aut rationem, quia hoc ille sibi facere consueuit, fitque tyrannus. Est autem is qui præest, iuris custos. Quod si iuris, ergo & æqualitatis. Iam verò quoniam si quis iustus sit, nihilo plus ad eum boni, quàm ad cæteros, videtur peruenisse, (non enim eorum, quæ absolutè bona sunt plus sibi quàm alijs tribuit, nisi ex proportione quadem ei debeatur,) idcirco alteri laborat: & ob hanc causam bonum alienum dicunt esse iustitiam, quemadmodum & antè dictum est. Danda igitur ei merces aliqua est. Hæc autem est honos & decus. Qui verò his contenti non sunt, hi fiunt tyranni. Ius autem vel domini in seruos, vel patris in liberos, non est idem atque hæc, sed tamen simile. Neque enim cuiquam in sua iniustitiæ locus esse potest absolutè. Atqui possessio, seu mancipium, & liberi vsque eò dum parui sint, neque à patre seiuncti, partis instar sunt. Se ipsum autem nemo damno afficit consultò. Non est igitur cuiquam in se ipsum iniustitiæ locus. Ex quo efficitur, neque iniuriæ neque iuri ciuili locum esse. Lege enim ius constare, in iisque locum habere, apud quos legem esse communem paritur natura, dicebamus. Hos autem esse docuimus, quibus est inter ipsos imperandi & parendi æqualitas. Itaque inter virum & vxorem, magis quàm inter patrem & liberos, dominum & seruum, iuris est communitas. Hoc enim ius est ad tuendam rem familiarem pertinens: quod aliud est à ciuili.

CAPVT

CAPVT V.

De iure naturali & legitimo.

IVs ciuile autem aliud naturale eſt, aliud legitimum. Naturale, quod vbique gentium idem valet, non quia ita vel decretum ſit, vel non decretum. Legitimum autem, quod ab initio, hoc an illo modo fiat, nihil refert: cùm conſtitutum fuerit verò, tunc demum refert: quale eſt illud, mina captiuum redimere. aut illud, capram Ioui immolare, non oueis: præterea leges omnes, quas de rebus ſingularibus ferunt, vt Braſidæ ſacra facere: & quæcunque à populis ſcita & decreta ſunt. Exiſtimant autem nonnulli, iura omnia eſſe huiuſmodi, id eſt, legitima, quoniam id quod conſtat natura, immobile atque immutabile eſt, & vbique eandem vim habet: quemadmodum ignis & hîc, & apud Perſas vrit: iura autem quotidie vident immutari. Sed hoc non ita eſt omni quidem ex parte: eſt certè ex aliqua. Et ſanè apud Deos fortaſſe, haudquaquam aliter ſe res habet: ſed apud nos eſt profectò aliquid etiam naturale, mutabile, non tamen omne. Veruntamen nihilominus aliud natura valet, aliud non natura. Sed quodnam, & quale etiam eorum quæ aliter euenire, quæque mutari poſſunt, natura valeat, & quod non natura valeat, ſed lege & conſenſu, ſi quidem ambo peræquè ſunt mutabilia, ex ijsque afferam, cognoſcere licebit; cæteriſque rebus eadem diſtinctio poterit accommodari. Manus enim dextera valentior eſt ſiniſtra, natura. Atqui euenire poteſt vt aliqui ſiniſtra, perinde vt dextera, vtantur. Iam verò quæ iura ex conſenſu & vtilitate hominum nata ſunt, ea menſuris ſimilia ſunt. Neque enim omnibus in locis ſunt æquales vini triticíque menſuræ: ſed apud eos qui emunt, maiores: apud eos qui vendunt, minores. Itémque iura non naturalia, ſed humana, non ſunt omnibus in locis eadem. Nam ne reip. quidem regendæ forma, vna & eadem eſt apud omneis: ſed vna duntaxat vbique conſentanea naturæ eſt, & ea quæ optima. Iam vnumquodq; ius, & vnumquodque legitimum eandem rationem habet ad hominum actiones, quam res vniuerſæ ad ſingulareis. Nam quæ aguntur, multa ſunt: ſed vnumquidque illorum vnum. Eſt enim vniuerſum quiddam. Differt autem & ab iniuria iniuſtè factum, & à iure iuſtum officium, ſeu iuſtè factum, quo alter ius ſuum obtinet, iuſtúſque ex iniuſto redditur. Nam iniuria, vel natura, vel conſtitutione iniuria eſt. Hæc eadem cùm illata fuerit, iniuſtè factum eſt; priuſquam illata ſit, nondum iniuſtè factum eſt, ſed iniuria. Eadémque iuſti officij, ſeu iuſtè facti, ratio eſt: Quod commune eſt autem, id magis proprio nomine iuſta actio appellatur.

A

ΚΕΦΑΛ. ε'.

Περὶ δικαίου φυσικοῦ καὶ νομικοῦ.

ΤΟΥ δὲ πολιτικοῦ δικαίου, τὸ μὲν φυσικόν ἐστι· τὸ δὲ, νομικόν. φυσικὸν μὲν, τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν, καὶ οὐ πᾶ δοκεῖν ἢ μή· νομικὸν δὲ, ὁ ἐξ ἀρχῆς μὲν οὐδὲν διαφέρει οὕτως ἢ ἄλλως· ὅταν δὲ θῶνται, διαφέρει· οἷον, τὸ μνᾶς λυτροῦσθαι, ἢ τὸ, αἶγα θύειν, ἀλλὰ μὴ δύο πρόβατα· ἔτι, ὅσα ὑπὸ τῶν καθ' ἕκαστα νομοθετῶσιν οἷον, τὸ θύειν Βρασίδᾳ, καὶ τὰ ψηφισματώδη. δοκεῖ δὲ τοῖς πᾶσι πάντα εἶναι ταὐτά, ὅτι, τὸ μὲν φύσει, ἀκίνητον καὶ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν· ὥσπερ τὸ πῦρ καὶ ὧδε καὶ ἐν Πέρσαις καίει· τὰ δὲ δίκαια κινούμενα ὁρῶσι. τῦπο δ', οὐκ ἔστιν ὅπως ἔχον, ἀλλ' ἔστιν ὡς. καίτοι πρὸς γε τοὺς θεοὺς ἴσως ὑδαμῶς ἔχον· πρὸς ἡμᾶς δ' ἔστι μὲν τι καὶ φύσει κινητόν· οὐ μὴν πᾶν. ἀλλ' ὅμως ἔστι τὸ μὲν φύσει· τὸ δὲ, οὐ φύσει. ποῖον δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, καὶ ποῖον οὔ· ἀλλὰ νομικὸν καὶ συνθήκη, * εἴπερ ἄμφω κινητά, ὁμοίως δῆλον· καὶ ὅτι τῶν ἄλλων ὁ αὐτὸς ἁρμόσει διορισμός· φύσει μὲν τὸ δεξιὰ κρείττω· καίτοι ἐνδέχεσθαι πάντας ἀμφιδεξίους γενέσθαι. τὰ δὲ κατὰ συνθήκην, καὶ τὸ συμφέρον τῶν δικαίων, ὅμοιά ἐστι τοῖς μέτροις· οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἰνικὰ καὶ σιτικὰ μέτρα· ἀλλ' οὖν μὲν ὠνοῦνται, μείζω· ἃ δ' πωλοῦσιν, ἐλάττω. ὁμοίως δὲ καὶ τὰ μὴ φυσικά, ἀλλ' αὐθεφέτα δίκαια, ἃ ταὐτὰ πανταχοῦ, ἐπεὶ καὶ αἱ πολιτεῖαι· ἀλλὰ μία μόνον πανταχοῦ κατὰ φύσιν * ἡ ἀρίστη. τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον, ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει· τὰ μὲν γὰρ πραττόμενα, πολλά· ἐκείνων δὲ, ἕκαστον ἓν· καθόλου γάρ. διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ ἄδικον, καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον· ἄδικον μὲν γάρ ἐστι τῇ φύσει, ἢ θέσει· * τοιοῦτον δὲ τὸ αὐτὸ ὅ τῦπο, ὅταν πραχθῇ, ἀδίκημά ἐστι· πρὶν δὲ πραχθῆναι, ἄπω, ἀλλ' ἄδικον· ὁμοίως δὲ καὶ δικαίωμα. καλεῖται δὲ καὶ τὸ κοινὸν, μᾶλλον δίκαιον πρᾶγμα·

B

C

D

E

γρ. ἄφθ' ἀ. κινητά. ὁμοίως δῆλον δὲ ἐ. τ. ἀ.

γρ. ἢ αἱρετ.

γρ. τοιοῦτον δὲ

διχαίωμα δὲ, ὃ ἐπανόρθωμα τοῦ ἀδικήματος. καθ' ἕκαστον δὲ αὐτῶν, ποῖά τε εἴδη καὶ πόσα, καὶ περὶ ποῖα τυγχάνοντα ἐστίν, ὕστερον ἐπισκεπτέον.

A Iustum officium autem, seu iustè factum, correctio & emendatio iniustè facti, seu iniuriæ alteri illatæ est. Quæ sint autem cuiusque eorum genera, & partes, & quot sint, & in quibus versentur, posteriùs nobis erit videndum.

ΚΕΦΑΛ. ς'. CAPVT VI.

Τεία ἀδικημάτων εἴδη οἷς βλάπτονται, ἄνθρωποι. *Species iniustè factorum, quibus læduntur homines.*

B Ὄντων δὲ τῶν δικαίων καὶ ἀδίκων τῶν εἰρημένων, ἀδικεῖ μὲν καὶ δικαιοπραγεῖ, ὅταν ἑκὼν τις αὐτὰ πράττῃ· ὅταν μὲν ἑκὼν, οὐδέτερα· ὅταν δ' ἄκων, ἠδίκησε, καὶ ἠδίκηται, καὶ ἐστὶ δικαιοπραγεῖ, ἀλλ' ἢ κατὰ συμβεβηκός· οἷς γὰρ * συμβέβηκε δίκαια εἶναι ἢ ἀδίκοις, πράττουσιν. ἀδίκημα δὲ καὶ δικαιόπραγμα ὥρισται τῷ ἑκουσίῳ, καὶ ἀκουσίῳ· ὅταν μὲν γὰρ ἑκούσιον ᾖ, ψέγεται· ἅμα δὲ καὶ ἀδίκημα τότε ἐστίν· * ὥστε ἀδικόν τι, ἔστω μὲν, ἀδίκημα δ' οὔπω, ἐὰν μὴ ᾖ καὶ ἑκούσιον πρᾶγμα. λέγω δὲ ἑκούσιον μὲν, ὥσπερ καὶ πρότερον εἴρηται, ὃ ἂν τις τῶν ἐφ' αὑτῷ ὄντων εἰδὼς, καὶ μὴ ἀγνοῶν, πράττῃ, μήτε ὅν, μήτε ᾧ, μήτε ὃ ἕνεκα· οἷον τίνα τύπτει, καὶ τίνι, καὶ τίνος ἕνεκα· * καὶ ἐκείνων ἕκαστον, μὴ κατὰ συμβεβηκὸς, μηδὲ βίᾳ· ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα αὐτοῦ, τύπτοι ἕτερον· οὐ γὰρ ἑκὼν δέ· οὐ γὰρ ἐπ' αὐτῷ· ἐνδέχεται δὲ τὸν τυπτόμενον πατέρα εἶναι, τὸν δ', ὅτι μὲν ἄνθρωπος, ἢ τῶν παρόντων τις, γινώσκειν· ὅτι δὲ πατὴρ, ἀγνοεῖν· ὁμοίως δὲ καὶ τοῦτον διωρίσθω καὶ ὅτι τοῦ ὅ ἕνεκα, καὶ περὶ τὴν πρᾶξιν ὅλως· τὸ δὴ ἀγνοούμενον, ἢ μὴ ἀγνοούμενον μὲν, μὴ ἐπ' αὐτῷ δ' ὂν ἢ βίᾳ, ἀκούσιον· πολλὰ γὰρ καὶ τῇ φύσει ὑπάρχοντα εἰδότες καὶ πράττομέν καὶ πάσχομεν, ὧν οὐθὲν οὔτε ἑκούσιον, οὔτε ἀκούσιόν ἐστιν· οἷς τὸ * γηρᾶν, ἢ ἀποθνήσκειν. ἔστι δ' ὁμοίως ὅτε τῶν ἀδίκων καὶ τῶν δικαίων, τὸ κατὰ συμβεβηκός· καὶ γὰρ ἂν τὴν παρακαταθήκην ἀποδοίη τις ἄκων καὶ δι' φόβον, οὔτε δίκαια πράττειν, οὔτε δικαιοπραγεῖν φατέον· ἀλλ' ἢ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ τ' ἀναγκαζόμενον καὶ ἄκοντα τὴν παρακαταθήκην μὴ ἀποδιδόντα, κατὰ συμβεβηκὸς φατέον ἀδικεῖν, καὶ τὰ ἀδικα πράττειν· τῶν δὲ ἑκουσίων, τὰ μὲν προελόμενοι πράττομεν, τὰ δ' οὐ προελόμενοι· προελόμενοι μὲν, ὅσα προβουλευσάμενοι. ἀπροαί-

C

D

E

γρ. ὥστε ἴσως τι ἄδικον μὲν, ἀδίκημα δὲ οὔπω, ἐὰν μὴ τ.

γρ. συμβεβηκὸς

γρ. ἦναι,

Iam cùm iusta & iniusta ea sint quæ sunt à nobis exposita, tum & facit quisque iniustè, & iustè agit, cùm ea sponte sua agit. Cùm verò inuitus, neque iniustè facit, neque iustè agit, nisi ex euentu. Ea enim agit, quibus euenit vtiusta vel iniusta sint. At iniustè factum, iustãque actionẽ, id quod sponte & inuitè actũ est, definit ac terminat. Nam cùm quid sponte fit, tum & vituperatur, & simul iniustè factum est. Erit ergo aliquid iniustum, quod nondum erit iniustè factum, nisi eò accesserit, vt sponte factum sit. Sponte autem fieri dico, quemadmodum & suprà à nobis dictum est, id quod quis in sua potestate positum facit, sciens, neque eum quem iniuria afficit, ignorans, neque quo quasi instrumento, neque cuius rei gratia: verbi causa, quem verberet, qua re verberet, cuius denique rei causa verberet: atque illorum vnumquidque fiat, neque ex euentu, neque vi: veluti siquis alicuius manu apprehensa, alterum verberet. At sponte non verberauit is cuius est manus. Non enim in eo situm fuit. Contingere autem potest vt pater sit is qui pulsatur: is qui pulsat verò, illum esse hominem duntaxat, aut eorum aliquem, qui adsunt, sciat, patrem esse nesciat: Similis autem distinctio in eo cuius causa res agitur, adhibita sit, in tota denique actione. Quod igitur ignoratur, aut cùm minimè ignoretur, tamen vel in eius qui agit, potestate non est, vel ei vis affertur, id ab inuito agi dicitur. Nam multa sanè eorum quæ natura nobis affert, scientes & agimus & patimur; quorum nihil nec sponte nostra, nec nobis inuitis fieri dicendum est, vt senescere, aut mori. In rebus iustis autem æquè atque in iniustis euenta locum habent. Nam si quis depositum reddiderit inuitus, & metu coactus, is neque iusto officio fungi, neque rem iustam agere dicendus est, nisi ex euentu: itémque qui necessitate coactus, & inuitus depositum non reddit, is ex euentu iniuriam facere, réque iniustas agere dicendus est. Eorum autem quæ sponte aguntur, alia consilio capto agimus, alia consilio non capto. Consilio capto agimus, quæ priùs deliberata; non capto consilio, quæ re non antè deliberata, agimus. Iam

cùm in societate generis humani tria sint damnorum genera; ea quidem cum inscientia coniuncta sunt errata, cùm quis, aut quem minimè existimauit, percutienno, aut quomodo non putauit, aut quo instrumendo non putauit, aut cuius rei gratia nõ putauit, hæc egerit. Nam aut se non percussurum, aut non hoc instrumento, aut non hunc, aut non huius rei causa, arbitratus est: verùm accidit non id, cuius gratiâ se facere existimauit, sed longè aliud; verbi gratia, non vt vulneraret, sed vt pungeret, ferrum strinxit: aut non eum, quem putauit, vulnerauit; aut non quomodo voluit. Cùm igitur nec opinatò damnum illatum fuerit, Infortunium nominatur. Cùm autem non nec opinatò quidem illud, sed tamen non malitiosè, Erratum, seu Peccatum est. Peccat enim tum quisque cùm in ipso causæ principium inest: infortunatus est, cùm principium extrà est. Vbi verò quis sciens læsit alterum, sed deliberatione non antegressa, iniustè factum est: exempli causa, quæcunque vel ab ira, vel ab alijs affectibus, qui cùm aut necessarij sint, aut naturales, hominibus accidũt. Nam qui his impulsi lædunt alterum, & qui his peccant, iniuriam illi quidem faciunt, & hæc sunt iniustè facta: nondum tamen propter hæc iniusti, neque improbi sunt. Non enim malitiosè damnum illatum est. Cùm autem cõsilio capto, & de industria, tum & iniustus & improbus est dicendus. Quapropter rectè, Quæ per iram fiunt, non de industria facta iudicantur. Non enim prior lædit is qui iratus facit: sed qui lacessiuit, atque irritauit. Præterea non est controuersia de facto, sed de iure. Ob iniustitiæ enim speciem animo obiectam ira commouetur. Neque enim hîc de facto controuersia est, vt in rebus contrahendis inter eos qui contraxerunt, (quorum necesse est alterum esse improbum, nisi obliti id faciant,) sed de facto vnum & idem sentientes, de iure dissentiunt atque ambigunt. At qui cogitatò læsit alterum, non ignorat. Itaque qui ab irato læsus est, iniuriam se accepisse putat: qui iratus læsit, nullam se feciſſe iniuriam existimat. Quòd si quis consulto damnum inferat, iniuriam facit: & qui his iniurijs inferendis iniurius est, iniustus est, cùm vel à proportione, vel ab æqualitate discesserit. Itémque iustus est tum, cùm consultò iustè agit. Iustè agit autem, si modò sponte & voluntate sua agat. Eorum autem quæ inuitè fiunt, alia venia digna sunt, alia non item. Quæcunque enim non solùm inscientes, sed etiam per inscientiam peccant homines, ijs ignoscendum est: quæcunque verò non propter inscientiam peccant, sed quamuis inscientes, tamen perturbationibus nec naturalibus nec humanis incitati, ijs non est ignoscendum.

ρεπα ὄ, ὅσα ἀπεβλάβηται. τειῶν δὴ οὐσῶν βλαβῶν τὴν ἐν ταῖς κοινωνίαις, τὰ μὲν μετ' ἀγνοίας ἁμαρτήματά ἐστιν, ὅταν * μήτε ὅν, μήτε ὡς] γρ. μήπω, μήτε ᾧ, μήτε οὗ ἕνεκα ἐπῆλαβε, ταῦτα πράξῃ· ἢ γὰρ, οὐ βαλῶν, ἢ οὐ τοῦτον, ἢ ὑ τούτου ἕνεκα φήθη· ἀλλὰ συνέβη ὑχ ὃ ἕνεκα φήθη· οἷ, ὑχ ἵνα πρώσῃ, ἀλλ' ἵνα κεντήσῃ, ἢ οὐχ ὅν, ἢ ὑχ ὡς. ὅταν μὲν οὖν παραλόγως ἢ βλάβη γίνηται, ἀτύχημα· ὅταν δ' μὴ παραλόγως, ἀλλὰ δὲ κακίας, ἁμάρτημα· ἁμαρτάνει μὲν γὰρ, ὅταν ἐν ἑαυτῷ ἡ ἀρχὴ ᾖ τῆς αἰτίας· ἀτυχεῖ δὲ, ὅταν ἔξωθεν. ὅταν δὲ, εἰδὼς μὲν, μὴ προβουλεύσας δὲ, ἀδίκημα· οἷ ὅσα τε ὑφ' θυμῶν, καὶ ἄλλα πάθη, ὅσα αἰσχρὰ ἢ φυσικὰ, συμβαίνει τοῖς ἀνθρώποις· ταῦτα γὰρ βλάπτοντες καὶ ἁμαρτάνοντες ἀδικοῦσι μὲν, & ἀδικήματά ἐστιν· ὐ μέντοι πω ἄδικοι ὑφ' ταῦτα, οὐδὲ πονηροί· οὐδὲ γὰρ ὑφ' μοχθηρίας ἢ βλάβη. ὅταν δ' ἐκ προαιρέσεως, ἄδικος καὶ μοχθηρός· διὸ καλῶς τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας * κεῖνται· ὁ γὰρ ὀργὴ ὁ γρ. κίνεται· θυμῷ ποιῶν, ἀλλ' ὁ ὀργίσας. ἔτι δ' οὐδὲ περὶ τὸ πρᾶξαι ἢ μὴ, ἀμφισβητεῖται, ἀλλὰ περὶ τὸ δικαίῳ. ὅτι φαινομένη γὰρ ἀδικία ἡ ὀργή ἐστιν· ὁ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασι περὶ τὸ πρᾶξαι ἀμφισβητοῦσιν, ὧν ἀνάγκη τὸν ἕτερον εἶναι μοχθηρόν, ἂν μὴ ληθῳ αὐτὸ δρῶσιν· ἀλλ' ὁμολογοῦντες περὶ τὸ πράγματος, περὶ τὸ πότερον δίκαιον ἀμφισβητοῦσιν· ὁ δ' * ὑπεβουλεύσας, οὐκ ἄγνοεῖ γρ. ὑπεβουλεύων, ὥστε, ὁ μὲν οἴεται ἀδικεῖσθαι, ὁ δ' οὔ· δῆλον δ' ἐκ προαιρέσεως * βλάπτῃ, γρ. βλάπτῃ, ἀδικεῖ. καὶ ἔτι ταῦτα ἤδη τὰ ἀδικήματα ὁ ἀδικῶν, ἄδικος, ὅταν παρὰ τὸ ἀπάλογον ᾖ, ἢ παρὰ τὸ ἴσον. ὁμοίως δὲ καὶ ὁ δίκαιος, ὅταν προαιρούμενος δικαιοπραγῇ. δικαιοπραγεῖ δὲ, ὰν μόνον ἐκὼν πράξῃ. τῶν δ' ἀκουσίων, τὰ μὲν, ἔστι συγγνωμονικά· τὰ δ' οὐ συγγνωμονικά· ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες, ἀλλὰ & δι' ἄγνοιαν ἁμαρτάνουσι, συγγνωμονικά· ὅσα δὲ μὴ δι' ἄγνοιαν, ἀλλ' ἀγνοοῦντες μὲν, ἀπὸ πάθος δὲ, μήτε φυσικὸν, μήτ' ἀνθρωπικὸν, οὐ συγγνωμονικά.

ΚΕΦΑΛ. ζ.

Περὶ τῦ ἀδικεῖσθαι, πῶς συμβαίνῃ, καὶ ὅτι ἑαυτῷ ἑκόντι.

CAPVT VII.

De iniuria accipienda, & an sponte sua aliquis iniuria affici queat.

Ἀπορήσειε δ' ἄν τις, εἰ ἱκανῶς διώρισται περὶ τῦ ἀδικεῖσθαι καὶ τῦ ἀδικεῖν. πρῶτον μὲν, εἰ ἔστιν, ὥσπερ Εὐριπίδης εἴρηκε, λέγων ἀτόπως,

Μητέρα κατέκτα τὴν ἐμὴν· βραχὺς λόγος:

Ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών.

πότερον γὰρ ὡς ἀληθῶς ἔστιν ἑκόντα ἀδικεῖσθαι, ἢ οὔ· ἀλλ' ἀκούσιον ἅπαν, ὥσπερ καὶ ὃ ἀδικεῖν πᾶν ἑκούσιον. καὶ ἆρα ἅπαν οὕτως ἢ ἐκεῖνως, ὥσπερ καὶ ὃ ἀδικεῖν πᾶν ἑκούσιον· ἢ ὃ μὲν, ἑκούσιον, τὸ δ', ἀκούσιον. ὁμοίως δὲ καὶ ὅτι τῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον. ὥστ' ἄλλην ἀντικεῖσθαι ὁμοίως καθ' ἑκάτερον, τό, τ' ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι, ἢ ἑκούσιον ἢ ἀκούσιον εἶναι). ἄτοπον δ' ἂν δόξειε καὶ ὅτι τῦ δικαιοῦσθαι, εἰ ἅπαν ἑκούσιον. ἔνιοι γὰρ δικαιοῦνται οὐχ ἑκόντες· ἐπεὶ καὶ τόδε διαπορήσειεν ἄν τις, πότερον ὁ τὸ ἄδικον πεποιηκὼς, ἀδικεῖται πᾶς· ἢ ὥσπερ καὶ ὅτι τῦ πάσχειν, καὶ ὅτι τῦ παθεῖν ἐστι· καὶ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ' ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων· ὁμοίως δὲ δῆλον, ὅτι καὶ τῶν ἀδίκων. οὐ γὰρ ταὐτόν τὸ τὰ ἄδικα πράττειν τῦ ἀδικεῖν· οὐδὲ τὸ ἄδικα παθεῖν, τῦ ἀδικεῖσθαι· ὁμοίως δὲ καὶ ὅτι τῦ δικαιοπραγεῖν καὶ δικαιοῦσθαι· ἀδύνατον γὰρ ἀδικεῖσθαι, μὴ ἀδικοῦντος· ἢ δικαιοῦσθαι, μὴ δικαιοπραγοῦντος. εἰ δ' ἔστιν, ἁπλῶς τὸ ἀδικεῖν, τὸ βλάπτειν ἑκόντα ἕνα. τὸ δ' ἑκόντα, εἰδότα καὶ ὃν, καὶ ᾧ, καὶ ὡς· ὁ δ' ἀκρατὴς ἑκὼν βλάπτει αὐτὸς αὑτὸν, ἑκὼν τ' δὴ ἀδικοῖτο, καὶ ἐνδέχοιτο αὐτὸν αὑτὸν ἀδικεῖν. ἔστι δὲ καὶ τῦτο ἓν τι τῶν ἀπορουμένων, εἰ ἐνδέχεται αὐτὸν αὑτὸν ἀδικεῖν. ἔτι, ἑκὼν δὴ ἄν τις δι' ἀκρασίαν ὑπ' ἄλλου βλάπτοιτο * ἑκόντος· ὥστ' εἴη ἂν ἑκόντ' ἀδικεῖσθαι· ἢ οὐκ ὀρθὸς ὁ ὁρισμὸς, ἀλλὰ προσθετέον * τῦ βλάπτειν, εἰδότα καὶ ὃν, καὶ ᾧ, καὶ ὡς τὸ παρὰ τὴν ἐκείνου βούλησιν.

γρ. ἀδικουῦντος.

γρ. τὸ βλάπτειν, εἰδότα

Dvbitare autem posset aliquis, si modò satis distinctè de accipienda & facienda iniuria à nobis disputatum est; primùm quidem vtrùm ita se res habeat, vt dixit Euripides, cuius hæc sunt absurdè sanè dicta:

Matrem vt meam necauerim, paucis loquar,
Volens volentem, vel volentem non volens.

Quæri enim potest vtrùm possit quisquam verè iniuriam sua voluntate accipere, nécne: sed potiùs omnis inuito fiat iniuria: quemadmodum & quisquis iniuriam facit, sponte facit: hoc est, vtrùm omnis iniuria accipiatur vel hoc vel illo modo, (quemadmodũ & iniuriam quisque sua voluntate facit,) an aliqua sit, quam quis sua sponte accipit: aliqua quam inuitus. Atque hoc idem de iure obtinendo quæri potest. Quisquis enim iustè agit, sponte agit. Itaque consentaneum est, vtrũq; similiter inter se opponi, iniuriam accipere, & ius suum obtinere: vt vtrumque vel sponte perferatur atque obtineatur, vel inuitè. Sed absurdum videri possit etiam in suo iure obtinendo, si omnis, qui ius suum obtinet, sponte obtineat. Nonnulli enim ius suum obtinent non sua voluntate. Tum verò hoc quoque cuipiam dubiũesse possit, vtrùm quisquis aliquid iniusti pertulit, iniuriam accepisse dicendus sit: an verò, vt in agendo, sic se res habeat etiam in perpetiendo. Contingere enim potest vt quis ex euentu in vtroque rerum iustarum sit particeps. Fieri autem similiter posse, vt quis rerum iniustarum sit particeps, perspicuum est Non enim idé est, res iniustas agere, atque iniuriam facere: neque res iniustas perferre, atque iniuriam accipere. Idémque de re iusta agenda, & de iure suo obtinendo, sentiendum. Nam fieri non potest vt quisquam iniuriam accipiat, nisi sit qui faciat: aut vt ius suum obtineat, nisi sit qui iustè agat, iustique iudicis munere fungatur. Quod si iniuriam facere, simpliciter est alicui sponte sua nocere: sponte autem nocere, est scientem & cui, & quo, & quo modo noceas: incontinens autem sponte sua sibi ipse nocet: ergo sponte sua iniuria afficietur, & fieri poterit vt quis se ipse iniuria afficiat. At hoc etiam vnum est ex ijs quæ dubitantur & quæruntur, fierine possit vt quis sibi ipse iniuriam faciat. Præterea potest aliquis sponte sua propter incontinentiam suam ab altero, eius voluntate damno affici. Itaque fieri poterit vt quis sponte sua iniuria afficiatur. Aut non est recta superior definitio? illisque verbis, Nocere scientem & cui, & quo, & quomodo noceas, addenda sunt hæc, Contra illius voluntatem?

Damnoigitur ſua ſponte quiſpiam affici, réſ- A que iniuſtas perferre & perpeti poteſt : iniuriã autem ſua ſponte accipere nemo poteſt. Nemo enim vult iniuriam accipere : ac ne incontinens quidem : ſed præter ſuam voluntatem agit. Nam nec vult quiſquam, quod non arbitratur eſſe bonum. At incontinens id quod agendum eſſe non putat, agit. Neque verò qui dat ſua, (quemadmodum ſcribit Homerus Glaucum Diomedi dediſſe,

βλάπτεται μὲν οὖν ὑπ' ἄλλου, καὶ τὰ ἄδικα πάσχει, ἀδικεῖται δ' οὐθεὶς ἑκών· οὐθεὶς γὰρ βούλεται, οὐδ' ὁ ἀκρατής. ἀλλὰ παρὰ τὴν βούλησιν πράττει· οὔτε γὰρ βούλεται οὐθεὶς ὃ μὴ οἴεται εἶναι ἀγαθόν· ὁ δὲ ἀκρατὴς, ὃ οὐκ οἴεται δεῖν πράττειν, πράττει· ὁ δὲ τὰ αὑτοῦ διδοὺς, ὥσπερ Ὅμηρός φησι δοῦναι τὸν Γλαῦκον τῷ Διομήδει,

Χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων,

Aurea dat pretio arma boues æquantia centum:
Aerea fert nihilóque nouem meliora iuuencis,

B iniuria afficitur. In eius enim poteſtate ſitum eſt dare, aut non dare. At iniuriam accipere, non eſt in eius qui accipit, poteſtate ſitum, ſed adſit is oportet, qui iniuriam faciat. Iniuriam igitur accipere, non eſſe quippiam, quod ſponte ſuſcipiatur, ex ijs intelligi poteſt. Sed ex ijs quæ propoſuimus, duo nobis reſtant explicanda: vtrùm iniuriam faciat, íſne qui plus alicui tribuit, præter eius meritum ac dignitatem, an is qui plus conſecutus eſt : & fieríne poſſit, vt quis ſibi ipſi iniuriam faciat. Nam ſi contingere poteſt id quod priore loco dictum eſt, vt is C qui plus tribuit, faciat iniuriam, non is qui plus obtinuit; ſequitur, vt ſi quis plus alteri quàm ſibi, tribuat ſciens, & ſua voluntate, is ſe ipſe iniuria afficiat. Id quod modeſti homines facere conſueuerunt : nam vir bonus de ſuo iure libenter & facilè aliis concedere ſolet. An ne hoc quidem ſimplex eſt; Nam plus ſibi alterius boni, ſi caſus ita tulit, vendicauit, veluti gloriæ, aut eius quod abſolutè honeſtum eſt. Præterea ex definitione eius quod eſt iniuriam facere, hoc diſſoluitur. Nihil enim ei accidit præter ipſius voluntatem. Quare non iccirco iniuria afficitur, ſed, vt hoc demus, damno afficitur dumtaxat. Perſpicuum autem etiam illud eſt, eum quidem, qui plus diſtribuit, facere iniuriam : ſed eum qui plus obtinet, non ſemper Non enim is in quo id ineſt, quod iniuſtum eſt, iniuriam facit : ſed is in quo ſponte hoc facere, hoc eſt, à quo actionis principium proficiſcitur : quod ſanè eſt in eo qui diſtribuit, non in eo qui capit. Præterea, quoniã, facere multis modis dicitur, & vſu venit vt inanima quoq; interficiãt, & manus, & ſeruus, domini iuſſu : non quidẽ iniuriã faciunt, ſed tamen res iniuſtas faciunt. Præterea ſi quis ignorans iudicauit, neq; facit iniuriam, quod ad ius legitimum attinet, E neque iudicium iniuſtum eſt : ſed eſt velut iniuſtum. Nam ius legitimum aliud eſt ab illo primo. Quod ſi ſciens iniuſtè iudicauit, iam ipſe quoque plus conſecutus eſt, vel in eo quòd gratiam iniit ab altero, vel in eo quòd inimicitias ſuas vltus eſt. Quemadmodum igitur ſi quis iniuriæ factæ ſit ſocius ac particeps : ſic etiã in illis, is qui propter hæc iniuſtè iudicauit, plus obtinere intelligitur. Nã & in illis qui agrũ alteri adiudicauit, is non agrum ſed pecuniam accepit.

οὐκ ἀδικεῖται· ἐπ' αὐτῷ γάρ ἐστι τὸ διδόναι· τὸ δὲ ἀδικεῖσθαι, οὐκ ἐπ' αὐτῷ, ἀλλὰ τὸν ἀδικοῦντα δεῖ ὑπάρχειν. περὶ μὲν οὖν τὸ ἀδικεῖσθαι, ὅτι οὐκ ἐκούσιον, δῆλον. ἔτι δ', ὧν προαιρούμεθα, δύο ἐστὶν εἰπεῖν, πότερόν ποτε ἀδικεῖ ὁ νείμας πρὸς τὴν ἀξίαν τὸ πλεῖον, ἢ ὁ ἔχων· καὶ εἰ ἔστιν αὐτὸν αὐτὸν ἀδικεῖν· εἰ γὰρ ἐνδέχεται τὸ προτερον λεχθὲν, καὶ ὁ νεμόμενον ἀδικεῖ, ἀλλ' οὐκ ἔχων τὸ πλέον· εἶτ' ἐς * πλέον ἑτέρῳ ἢ αὑτῷ νέμει, εἰδὼς καὶ ἐκὼν, ἔστ' αὐτὸς αὑτὸν ἀδικεῖ· ὅπερ δοκοῦσιν οἱ μέτριοι ποιεῖν· ὁ γὰρ ἐπιεικὴς, ἐλαττωτικός ἐστιν. ἢ οὐδὲ τοῦτο ἁπλοῦν· ἑτέρου γὰρ ἀγαθοῦ, εἰ ἔτυχεν, * ἐπλεονέκτει· οἷον δόξης, ἢ τοῦ ἁπλῶς καλοῦ. ἔτι λύεται καὶ κατὰ τὸν διορισμὸν τοῦ ἀδικεῖν· οὐδὲν γὰρ πρὸς τὸν αὐτοῦ πάσχει βούλησιν· ὥστε οὐκ ἀδικεῖται, ἅμα γε τοῦτο· ἀλλ' εἴπερ, βλάπτεται μόνον. φανερὸν δὲ καὶ * ὅτι ὁ νεμόμενον ἀδικεῖ, ἀλλ' οὐχ ὁ τὸ πλέον ἔχων ἀεί· οὐδὲ ᾧ τὸ ἄδικον ὑπάρχει, ἀδικεῖ· ἀλλ' ᾧ τὸ ἐκόντως τοῦτο ποιεῖν· τοῦτο δ', ὅταν ἡ ἀρχὴ τῆς πράξεως· ἢ ἔστιν ἐν τῷ νεμομένῳ, ἀλλ' οὐκ ἐν τῷ λαμβάνοντι. ἔτι, ἐπεὶ πολλαχῶς τὸ ποιεῖν λέγεται, καὶ ἔστιν ὡς καὶ ἄψυχα κτείνει, καὶ ἡ χεὶρ, καὶ ὁ οἰκέτης ὑπὸ τάξαντος, οὐκ ἀδικεῖ μέν, ποιεῖ δὲ τὰ ἄδικα. ἔτι, εἰ μὲν ἀγνοῶν ἔκεινεν, οὐκ ἀδικεῖ καθ' ὃ νομικὸν δίκαιον, οὐδ' ἄδικος ἢ κακὸς ἔστιν. ἔστι δ', ὡς ἄδικος· ἕτερον γὰρ τὸ νομικὸν δίκαιον καὶ τὸ πρῶτον. εἰ δ' εἰδὼς ἔκεινεν ἄδικος, πλεονέκτει καὶ αὐτὸς, ἢ κακὸς, ἢ ἀμαθίας. ὥσπερ οὖν καὶ ἂν εἴ τις μετάσχοι τοῦ ἀδικήματος, καὶ ὁ δι' αὐτὰ κρίνας ἄδικος, πλέον ἔχει· καὶ γὰρ * ἐπ' ἐκείνων ὁ τὸν ἀγρὸν κρίνας, οὐκ ἀγρὸν, ἀλλ' ἀργύριον ἔλαβεν.

